LIBANII SOPHISTAE

ORATIONES

ET

DECLAMATIONES

AD FIDEM CODICVM MSPT.

RECENSVIT

ET PERPETVA ADNOTATIONE

ILLVSTRAVIT

IO. IACOBVS REISKE.

VOLVMEN TERTIVM.

ALTENBVRGI

SVMTIBVS ET LITTERIS RICHTERI

MDCCLXXXXV.

LII.

ΣΩΚΡΑΤΟΥΣ ΑΠΟΛΟΓΙΑ.

Οὐδ' εἰ πλείους, ὦ ἄνδρες, τῶν νυνὶ τούτων αἰτιῶν ἐπάγει τις σωκράτει, πείθων ὑμᾶς ὡς ἀνάγκη κακῶς οἰκεῖσθαι τὴν πόλιν μὴ τούτου δόντος δίκην, οὐκ ἄν μοι δοκῶ τὸ μὴ οὐ φίλος [1] αὐτῷ καὶ γεγονέναι καὶ πάντα χρῆσθαι τὸν χρόνον, ἐν ὑμῖν [2] ἀρνήσασθαι. οὔτε γὰρ ἧς ἐφ' ἑκάστου καὶ λόγου καὶ ἔργου δικαιοσύνης αὐτῷ συνοιδα τὴν τῶν ἀδίκως ἐπ' αὐτὸν συνεστηκότων βλασφημίαν, καλῶς εἶχεν ἰσχυροτέραν ἡγήσασθαι. πολλῆς τ' ἂν ἦν κακίας ᾧ συνῆν τε πρότερον καὶ περὶ τῶν ἐμαυτοῦ σύμβουλον ἐποιούμην. τοῦτον ἐπειδὴ πάσχει κακῶς ἐγκαταλείπειν. οὕτω δ' ἔχοντα γνώμης πρέποι μὲν ἂν καὶ [3] συνεύχεσθαι σωκράτει, καὶ τοὺς θεοὺς, οἱ κάλλιστα τὸν τοῦδε [4] βίον ἐπίστανται, καλεῖν ἐπὶ τὸν παρόντα ἀγῶνα. δεῖ δὲ ἴσως καὶ λόγῳ βοηθοῦντα φαίνεσθαι, καὶ μηδὲν ἀφ' ὧν ἂν δόξαιμι τὰ δίκαια [5] ποιεῖν παρελθεῖν. καὶ γὰρ ἂν εἴη δεινὸν, ἐπὶ μὲν μελίτῳ καὶ ταῖς παρ' ἐκείνου [6] λοιδορίαις ἄνυτον ἀναβῆναι, λόγον κακοήθη τε καὶ μακρὸν κομίζοντα καὶ πάλιν ἐπὶ τούτῳ λύκωνα μηδεμιᾶς ἀποσχέσθαι τέχνης ὅπως εἰς ὑμῶν ἀποθάνῃ. ἡμᾶς δὲ, οὓς λυπεῖν ὡμολόγηκεν ἄνυτος τοῖς κατὰ σωκράτους λόγοις, ἀφώνους,

[1] recte Aug. φίγος. Mor. φίλον.

[2] ἐν ὑμῖν] sic Aug. ἐν ἡμῖν Mor.

[3] πρέποι μὲν ἂν καὶ] sic Aug. πρέπει μὲν καὶ Mor.

[4] τοῦδε] sic Aug. τούτου Mor.

[5] τὰ δίκαια] sic Aug. τὰ deest Mor.

[6] παρ' ἐκείνου] sic recte Aug. παρ' ἐκείνῳ Mor.

νους, ὡς οὐκ ἀνιωμένους, ἑστᾶναι καὶ γενέσθαι χείρονας τῆς τῶν κατηγόρων ἐλπίδος. ἄλλως τε ἐν τῷ [7] τὰ προσήκοντα τῇ φιλίᾳ πληροῦν, καὶ τοὺς δικάζοντας ὑμᾶς ἐξελέσθαι τῆς ἐπιορκίας ἔνεστιν. ὁ γὰρ τὴν τῶν ἐπηρεαζόντων ἀπάτην οὐκ ἐῶν ἰσχῦσαι, φύλακας ἀκριβεῖς ποιεῖ τοὺς ψηφιζομένους τῶν ὅρκων. ὥστε οὐ τῷ φεύγοντι συνηγορήσων μᾶλλον ἀνέβην ἢ τῶν ὑμῖν συμφερόντων ποιησόμενος πρόνοιαν [8]. σωκράτει μὲν, ὦ ἄνδρες, βραχὺς τοῦ θανάτου λόγος. οὔτε γὰρ ἐν οἷς ἀεὶ ζητῶν διετέλει, τοῦ ζῆν τὸ τεθνάναι χαλεπώτερον εὗρε. τόν [9] τε κεκρατηκότα τῶν ἡδονῶν, ὧν ἕνεκα ζῆν ἐπιθυμοῦσιν οἱ πολλοὶ, καὶ τὴν ἐνθένδε μετάστασιν ἀνάγκη ῥᾳδίως φέρειν. ἔτι δὲ οἷς οὐκ ὀλίγοι τῶν φανερῶς ἀδικούντων, τῷ τε παρ' ὑμῶν ἐλέῳ καὶ δάκρυσι τοῖς αὐτῶν, καὶ παίδων ἱκετείαις εὗρον σωτηρίαν. τοσοῦτον ἀπέχε διὰ τούτων αὐτὸν ἐξαιτήσασθαι, ὥστ' ἤδη τινὰς ὑμῶν, ᾐσθόμην τραχύτερον ἐσχηκότας πρὸς αὐτὸν. τῷ μηδενὶ τούτων, ἀξιῶσαι χρήσασθαι. ἐγὼ δὲ οὐ διὰ τοῦτο τῆς συνηγορίας ἀπέστην, ὅτι σμικρὸς ὁ λειπόμενος σωκράτει χρόνος, ᾧ καὶ φόβος οὐδεὶς τῆς τελευτῆς. ἀλλὰ πολὺ μᾶλλον ἡγούμενος πρέπειν τὸν τοιοῦτον τῇ φύσει, μηδὲν ἀδικῶς ἐν ὑμῖν παθεῖν· καὶ ἅμα τοῦ μὴ πολλὰ τοιαῦτα ἐν τῇ πόλει τολμᾶσθαι, μηδὲ ἀναγκάζεσθαι, τοὺς μὲν δικάζοντας ἀσεβεῖν, κοινῇ δὲ ἀδοξεῖν ἀθηναίους, παρεκελευσάμην ἐμαυτῷ τὴν ἀνύτου συκοφαντίαν ἐλέγξαι. τοῦτο δὲ γένοιτ' ἂν ὑμῶν ἀκούειν εὐμενῶς ἐθελόντων. καὶ γὰρ εἰ μὲν ἐμπείρως ἔχων τῶν ἐν τοῖς δικαστηρίοις λόγων σωκράτης, πρὸς τὰς τούτων παρασκευὰς ἱκανῶς ἐτύγχανεν ἠγωνισμένος, ἴσως ἂν ὑμῖν ἐξήρκει παρ' ἐκείνου περὶ ὧν κρίνεται διδαχθεῖσι, τὴν ψῆφον ὀρθῶς φέρειν.

[7] f. ἄλλως τε καὶ ὅπου ἐν τῷ.

[8] in vocabulo πρόνοιαν desinit codex Aug. primus, neque prius redorditur, quam ad finem huius declamationis p. 676. 32. ed. Mor. reliqua interiecta omnia ab illo codice absunt, id quod aegerrime fero. poterant enim inde mendae quam plurimae emendari.

[9] τὸν] sic dedi. τῶν Mor.

φέρειν. ἐπεὶ δὲ, ὥσπερ ἐπὶ τῶν ἐργαστηρίων, οὕτω καὶ νῦν ἐν ἡμῖν διείλεκται. τῇ παρέσῃ μὲν οὐ συμφέροντες χρείαν [10]. μίαν δ' οὖν αὐτῷ λύσαι διαβολὴν, ὡς οὐκ ἄρα εἴη δεινὸς λέγειν, ἡμῶν, ὦ ἄνδρες πρὸς θεῶν ἀνάσχεσθε, τῶν οὐ δυναμένων μὲν ἐξισοῦσθαι πρὸς τὸν ἀνύτου λόγον· ἴσως δὲ ὑμῖν τι συμβαλουμένων, καὶ τ' ἀληθῆ μᾶλλον ἐρούντων; ἢ οὔτοι· οἶδα μὲν οὖν ὅτι διαβολή τις κατεσκέδασται σωκράτους ὑπὸ τῶν ἐν ταῖς συνουσίαις, τοὺς παρ' ἐκείνου μὴ φερόντων ἐλέγχους· οἱ δικαιότερον ἂν αὐτοῖς ἐπιτιμῶντες, ὅτι τῆς αὐτῶν διανοίας ἠμέλουν· τὸν οὐκ ἐῶντα ῥαθυμεῖν περὶ τὰ μέγιστα τῶν ἐν ἀνθρώποις ἐμίσουν. καί τινας καὶ καθίεσαν τοὺς τὰ τοιαῦτα λέγοντας· τὸν μιαρὸν, τὸν ὄλεθρον· τὸν λυμεῶνα τῶν νέων. ἃ δὴ καὶ τούτοις ἐδόκει θαῤῥῆσαι τὴν γραφὴν ἀπενεγκεῖν. ἐπεὶ καὶ πρώην τινὸς προσελθόντος αὐτοῖς, καὶ λέγοντος σφόδρα [11] συνήδεσθαι. τοῖς διώκουσιν· οὐδὲ γὰρ οὐδ' ὁρᾷν [12] εἰς τὸ κρατήσειν ἀφορμάς [13]· τὸ τῶν δικαζόντων πρὸς τὸν κινδυνεύοντα μῖσος, μεγάλην ἔφασαν σφίσιν αὐτοῖς ὑπάρχειν πλεονεξίαν. πάλαι γὰρ αὐτὸν ἐπιθυμεῖν [14] ὑπὸ ταῖς ψήφοις λαβεῖν· ὡς αὐτοῖς ἀρκεῖν φανῆναι [15]. ἃ γὰρ αὐτὸς ἂν εἴπερ ἐδίκαζεν ἄνυτος ἐποίει, καὶ οἱ μετὰ τούτου· ταῦτα παρ' ὑμῶν προσδοκᾷ. κακῶς ἐλπίζων. διὰ τί· ὅτι πρῶτον μὲν ἐν ὑμῖν οὐκ ὀλίγους ἑώρων πολλάκις ἡσθέντας· ὁπότε σωκράτης τοὺς ἀλαζόνας ἐλέγχοι· καὶ νὴ Δία γε, καὶ πρὸς ἀρετὴν, διὰ τοὺς [16]

ἐπι-

[10] συμφερόντως χρείᾳ.

[11] f. λέγοντος οὐ σφόδρα. et negate, se admodum bene sperare de accusatoribus Socratis; neque enim se cernere penes eos vlla victoriae praesidia.

[12] f. οὐδὲ γὰρ οὐδ' ἰσχυρὰς ὁρᾷν aut alias secundum οὐδὲ erit delendum.

[13] post ἀφορμὰς incipit responsio factionis, Socrati infestae, aientis, odium quo indices reum Socratem prosequerentur magno sibi fore emolumento.

[14] ἐπιθυμεῖν] scil. τοὺς δικάζοντας.

[15] φανῆναι] sibi in conspectum venire, ad tribunal suum accedere Socratem.

[16] duo vocabulo διὰ τοὺς videntur delenda, aut leg. διὰ τοῦτον, ob hunc Socratem.

ἐπιδεδωκότας οὐ μικρόν· ἐπεὶ[17] καὶ τὰ μάλιστα δυσχερῶς ἔχετε[18] πρὸς αὐτὸν ἅπαντες· καὶ κοινὸς ἦν τοῦ δικαστηρίου πολέμιος, οὐκ ἂν ἦν τῇ δυσμενείᾳ χαρίσασθαι. καὶ γάρ, ὦ ἄνδρες, τὸ χωρίον οὐκ ἔχθρας ἐστὶν ἢ χάριτος· οὐδὲ συνέρχεσθε[19] ἐνταῦθα τὸν ἑτέρωθε λυπήσαντα ἀμυνούμενοι, ἢ πρότερον εὖ πεποιηκότι χάριν ἀποδώσοντες[20]. ἀλλ' ἀπὸ τῶν πραγμάτων, ἐφ' οἷς ἡ κρίσις, ἢ σώσοντες, ἢ κολάσοντες. ταῦτα γὰρ δήπου καὶ σόλων εἰδώς, καὶ νομίζων τῶν ἀγωνιουμένων, τοὺς μὲν ἐν φίλοις τοῖς δικάζουσι δώσειν λόγον· τοὺς δὲ ἐν χαλεπῶς ἔχουσιν, ἵνα μηδετέρωθεν καταβλάπτοιτο τὸ δίκαιον· ὅρκον ἔταξεν οὐκ ἐῶντα χάριν ἢ δυσμένειαν ἢ τινα πρόφασιν ἄλλην ἄδικον ἐνοχλῆσαι τῇ κρίσει. καὶ νῦν μισεῖ τις σωκράτην· ἀλλ' ὀμώμοκεν ἥκιστα ἐμπλῆσαι τὸν αὐτοῦ θυμόν· ἀλλ' οἱ θεοὶ πρὸς τὴν ψῆφον βλέπουσιν ἣν ὁ θέμενος οὐ δικαίαν ὑποτέθεικεν ὅρκῳ· καὶ αὐτόν, καὶ παῖδας, καὶ οἰκίαν, καὶ γένος· καὶ μικρᾶς ἡδονῆς μεγάλην ὑπέχε τὴν δίκην. μὴ δὴ τοῦτό τις ὁράτω μόνον, ὅτι σωκράτην ἀπεκτονὼς ἔξεισιν ἀπηλλαγμένος τῆς τούτου παρρησίας. ἀλλὰ κἀκεῖνα προσενθυμείσθω τίς αὐτὸν διαδέξεται δόξα, καὶ τίνες ἐλπίδες. ἐν θεάτρῳ μὲν γὰρ κωμῳδίας ἀκροωμένους γελάσαι, καὶ συνεπιθέσθαι τῷ κακῶς ἀκούοντι, καὶ χαρίζεσθαι τῷ ποιητῇ· καλὰ μὲν οὐδ' ἐκεῖνα· δόξαι δ' ἂν οὐ παντάπασιν ἀλλότρια διονυσίων εἶναι· καὶ ὁ γέλως ἀκίνδυνος· ἐν δικαστηρίῳ τε ὁ τῷ διώκοντι δοὺς ἑαυτόν, καὶ πᾶν ἀληθὲς ἡγούμενος, καὶ συνταράττων καὶ βασανίζων οὐδέν· καὶ πρὸς τὴν τοῦ κατηγόρου μεθιστάμενος τάξιν ἀπὸ τῆς οἰκείας. μείζω ζημιώσας αὐτὸν ἢ οἴεται, κακῶς παθὼν μᾶλλον ἢ δεδρακὼς ἄπεισιν· ὁ μὲν γὰρ οὐκ ἔχει τοῦ κινδύνου κοινωνοὺς τοὺς παῖδας. ὁ δὲ πᾶσιν ἐφεξῆς τοῖς αὐτοῦ τὴν συμφορὰν ἐπάγει. καὶ μὴν οὐδὲ ἐκεῖνό γε εὔλογον, ὑπὲρ εὐσεβείας δοκοῦντας ἀγανακτεῖν, αὐτοὺς ἀσε-

[17] ἐπεὶ] lego ἔτ' εἰ.

[18] malim εἴχετε in imperfecto.

[19] συνέρχεσθε] sic dedi. συνέρχεσθαι Mor.

[20] ἀποδώσοντες in futuro.

ἀσεβῶντας ἀλῶναι· καὶ τῆς ἐδαμῶς δυναμένης ἐλεγχθῆναι πονηρίας οἰομένες δίκην λαμβάνειν αὐτὲς, ἐν τοῖς ὀφείλεσι τοῖς κρείττοσι δίκην γενέσθαι. περὶ μὲν τὲ μὴ δεῖν [21], εἴ τις ὑμῶν ἀγανακτῶν ἐκ τῶν ἔμπροσθεν τέτω πρὸς ἐνίες λόγων, δεῦρ' εἰσελήλυθε, τῦτο ἀναμιγνῦναι τῇ παρέσῃ κρίσει· καὶ τὲ δεῖν μεμνημένες τῶν θεῶν ὲς ὀμωμοκότας [22] ἥκετε. τήν τε ἀκρασίαν πᾶσι [23] ποιεῖσθαι καὶ τὴν διάγνωσιν· ἐνῆν μὲν πλείω λέγειν· οἶμαι δὲ καὶ ἐδὲν δεῖσθαι τὲς γε εὖ φρονῦντας τῶν πλειόνων. ἤδη δὲ ὑμᾶς διδάξω, πόθεν ποτε ἄνυτος ἐπέθετο σωκράτει, καὶ ὡς ἐκ ἐκ τῆς πρὸς ὑμᾶς εὐνοίας, ἐδ' αὖ φροντίζων τῆς τῶν ἡμετέρων [24] παίδων ἐπιεικείας, ἀλλ' ἑτέρωθεν. διωρίσασθαι [25] δὲ, ὦ ἀθηναῖοι, καὶ αὐτὸς ὥσπερ καὶ ἔτος [26] βέλομαι, ἐὰν ἐπιδείξω σωκράτην, ὦ ἀθηναῖοι, ἐδενὶ πώποτε διδάσκαλον γενόμενον, ἔτ' ἀδίκε κλοπῆς, ἔτε ἀπάτης, ἔτε ἱεροσυλίας, ἔτε ἐπιορκίας· ἔτ' ἀργίας, ἔτ' ὑπεροψίας τῶν νόμων, ἔτε δήμε καταλύσεως· ἁπάσης δὲ σωφροσύνης καὶ δικαιοσύνης ἡγεμόνα. καὶ πάντων ὑμῖν εὐνέσατον καὶ γεγενημένον καὶ ὄντα· πείσατε ἄνυτον ἐγκαλύψασθαι. σκοπεῖτε δέ. σωκράτης, ὦ ἄνδρες, γενόμενος ἐκ πατρὸς ἀθηναίε, καὶ τραφεὶς ἐν τοῖς ἡμετέροις νόμοις, λογισμὸν ἔλαβε μείζω μὲν ἴσως τῆς οἰκίας αὐτῦ· πρέποντα δὲ τῇ πόλει, καὶ τῷ τῆς πόλεως γνωρίσματι. καὶ διήνεγκε τῶν πολλῶν, ὁμολογῶ· ἐκ ἐνεχθεὶς ἐπὶ τὰ χείρω, καὶ βεληθεὶς γενέσθαι κάκιςος, ὡς ἔτοι φασιν, ἀλλὰ τῷ μάλιςα δὴ τῶν μνημονευομένων ἀρετῇ ςηριχθῆναι· καὶ νομίζειν ζηλωτὸν τὸ κτῆμα.

τὸ

[21] f. περὶ μὲν ἐν τὲ μὴ δεῖν, quod δεῖν cohaeret cum ἀναμιγνῦναι.

[22] ὀμωμοκότες in nominatiuo.

[23] f. τήν τε ἀκρόασιν ἴσην πᾶσι.

[24] malim ὑμετέρων.

[25] διορίσασθαι, sub certis conditionibus inire sponsionem.

[26] ὥσπερ καὶ ἔτος] scil. διωρίσατο. distinctione, definitione vsus est. Est autem ille διορισμὸς illa definitio, exceptio, cautio his verbis concepta. ἐὰν ἐπιδείξω.

τὸ μὲν γὰρ ἐν βαναύσω [27] διάγειν, ἢ γῆν ἐργάζεσθαι, ἢ πελάγη περᾶν, ὑπὲρ χρημάτων, ἢ τὰ ἀπὸ τῶν μετάλλων ζητεῖν, ἢ μνηστεύειν ἀρχὰς· ἢ τὴν ἐπὶ τοὺς ἰδιώτας ῥητορείαν συλλέγειν, καὶ διὰ ταύτης τῆς μελέτης καρποῦσθαι τοὺς ἀπράγμονας· ταῦτα ᾔδει μὲν τοῖς μετιοῦσι καὶ δυνάμεις, καὶ τὰς θαυμαζομένας ὑπὸ τῶν πολλῶν ὠφελείας φέροντα, καὶ φοβεροὺς ποιοῦντα τοὺς ἐν ταῖς εὐπορίαις. οὐ μὴν ἐδυνήθη σωκράτης τούτων οὐδὲν, οὔτε μέγα οὔτε εὔδαιμον ἡγήσασθαι· νομίσας δὲ πάντων εἶναι κτημάτων ἀνθρώπω θειότατον τὴν ψυχὴν, καὶ τὸν ταύτην καθαρὰν κακίας παρεχόμενον, τοῦτον εἶναι τὸν ὡς ἀληθῶς εὐδαίμονα. δύνασθαι δὲ κακίας ψυχὴν ἐλευθεροῦν φιλοσοφίαν· καὶ τοῦτο αὐτῇ μέγιστον ἐξευρῆσθαι φάρμακον. ἀφ᾽ ὧν μὲν ἦν τρυφᾶν, καὶ δύνασθαι, ταῦτα ἑτέροις ἀφῆκε. δι᾽ ὧν δὲ ἦν μηδὲν τῷ σώματι χαριζόμενον πάντα τρόπον τὴν ψυχὴν ἀμείνω ποιεῖν, ἐπὶ ταῦτα ἧκε· τὸ μὲν τὴν τοῦ οὐρανοῦ διερευνᾶσθαι φύσιν, καὶ τὸν ἥλιον, ὅτι ποτέ ἐστι σκοπεῖν, καὶ περὶ τῆς σελήνης ἀνευρίσκειν λόγους· καὶ πόθεν ἀστραπαὶ, καὶ τί τὸ βροντᾶν ποιοῦν· τὴν περὶ ταῦτα διατριβὴν ἔφυγε· νομίζων μάταιον πᾶσι μάθησιν, ἀφ᾽ ἧς οὐδὲν ἐνεργὸν [28] τοῖς ἐπισταμένοις γένοιτο. ἐπεὶ [29] δὲ τὸ ζητεῖν τὸ δίκαιον, καὶ τίνα χρὴ νομίζειν ἀνδρεῖον, καὶ τίς εἰκότως ἂν καλοῖτο σοφὸς, ὁ μέγιστον τῶν ἀγαθῶν, καὶ οἴκῳ, καὶ πόλει, καὶ πᾶσιν ἔθνεσιν, ἐπὶ ταῦτα ὥρμησε· καὶ τούτοις ἐνέμεινε· διδάσκαλον μὲν αὐτὸν οὐδενὸς οὐδαμοῦ προσειπών. οὐδὲ ἀργύριον πραξάμενος [30] ὁ μιαρὸς σοφιστής. ἐν δὲ τῷ τοῖς πλη-

[27] ἐν βαναύσῳ] id est ἐν τάξει καὶ σχήματι βαναύσου. possit quoque legi ἐν βαναύσων (in gen. plural.) scil. τάξει vel βίῳ, vel διατριβαῖς.

[28] f. οὐδὲν ἔργον (substantiuum simplex, non adiectiuum compositum. *nullus effectus*.

[29] ἐπεὶ] lege ἐπὶ, per simplex jota.

[30] post πραξάμενος deesse videtur ὡς . . cum nomine quodam proprio sophistae, qui rhetoricam docendo aut philosophiam quaestum fecit, e. c. Αἰσχίνης aut Γοργίας, aut Πρόδικος.

πλησιάζουσι συνεξετάζειν τὴν ἐκείνου πράγματος φύσιν τὸν βίον πορίζόμενος. καὶ ταῦτα ἔπραττεν, οὐ πολλῶν κεκληρονομηκὼς ταλάντων· οὐδὲ τῆς ἔνδον αὐτῷ περιουσίας παρεχούσης ἐπ᾽ ἐκεῖνα σχολήν. ὀγδοήκοντα γὰρ, ὦ ἄνδρες, μνᾶς αὐτῷ τοῦ πατρὸς ἡνίκα ἐτελεύτα παραδόντος, καὶ ταῦτα ἡλικιώτου τινὸς ἐπ᾽ ἐργασίᾳ λαβόντος, ἔπειτα περὶ τὴν ἐργασίαν ἀτυχήσαντος· σιγῇ τὸ συμβὰν ἤνεγκε σωκράτης· καὶ μᾶλλον ἄν τις τῶν μὴ προεμένων τὸ ἀργύριον ἐμνήσθη περὶ τούτου, ἢ αὐτὸς ὁ δεδωκώς. λοιπὸν οὖν ἦν ζῆν ἐν ἀμυθήτῳ πενίᾳ· τί οὖν ἐποίησεν; οὐ μετέβαλε τὴν τάξιν, ἐπειδὴ τῶν ἀφορμῶν ἐστέρητο. οὐδ᾽ ᾠήθη δεῖν ἕτερος ἐν ἑτέροις καιροῖς γενέσθαι, ἀλλ᾽ ἐκίνησεν[31] ἀκίνητον τὴν γνώμην διὰ τέλους, οὔσης αὐτῷ γυναικὸς καὶ παίδων. ἀντὶ γὰρ τοῦ ζῆν[32] εὐπορίας οὐ καλῶς, καὶ σκοπεῖν ὅθεν ἂν ἀντὶ τῶν οἰχομένων αὐτῷ γένοιτο χρήματα, τῆς δαπάνης ἀφεῖλε μᾶλλον· καὶ τὸ μὴ δεῖσθαι τοσούτων ἐπαίδευσεν ἑαυτὸν, ἢ ὅθεν ἂν ἔχοι δαπανᾶν ἐσκέψατο. τρίβωνι μὲν ἑνὶ δι᾽ ἔτους χρώμενος· ὕδωρ δὲ πίνων ἥδιον ἢ θάσιον οἶνον ἕτεροι· τό τε πεινῶν ἐσθίειν, ἀντὶ περσικῆς πριούμενος τραπέζης. τῆς δὲ οὕτως ἐχούσης τροφῆς, ἔμελλε[33] δήπου τοῖς ἐπιτηδείοις σωκράτους οὐδὲν ἐνοχλοῦντος. τοιοῦτος ὢν καὶ διάγων ὡς ἔφην, ὥσπερ τις κοινὸς πατὴρ, καὶ τῆς πόλεως ὅλης κηδεμὼν περιενόστει τὰς παλαίστρας, τὰ γυμνάσια, τὸ λύκειον, τὴν ἀκαδημίαν, τὴν ἀγορὰν, ὅποι μέλλει ἐντεύξεσθαι· λειτουργῶν ὑμῖν, ὦ ἄνδρες, λειτουργίαν οὐδὲν ἐοικυῖαν ταῖς ἐν τοῖς παναθηναίοις, ἢ τοῖς διονυσίοις ὧν ἡ χάρις παρέρχεται. ἀλλ᾽ ἐγρηγορὼς καὶ φροντίζων ὅπως κακίαν μὲν εἰς δύναμιν ἐξελάσειεν· ἀρετὴν δὲ πείσειεν ἀγαθόν τι νομίζειν· καὶ οὐδὲν ἐπαύσατο τῶν στρατηγεῖν καὶ ἄρχειν ὑμῶν βουλομένων· καὶ τὰ κοινὰ διοικεῖν, ἐνίους ἐλέγχων· ὅτι πρὶν ὅπως ἐπιμελήσονται τῶν ὑμετέ-

[31] ἐκίνησεν] ſententia poſtulat ἐτήρησεν. conſeruauit.

[32] ζῆν] imo vero ζητεῖν.

[33] ἔμελε (vno λ).

ὑμετέρων· καὶ πῶς ἂν εὐδαίμων γένοιτο πόλις μαθεῖν εἴπως[34] ἐν ταῖς ἀρχαῖς γένοιντο, διαπράττονται. καὶ ταῦτα ἔλεγεν, οὐ μὰ δί' οὐκ ἐκείνους ἐν αἰσχύνῃ ποιεῖν βουλόμενος· ἀλλ' ἵνα ἴδωσιν ὅτι ἐστὶν ὁ μεμφόμενος τοῖς ἀμελοῦσι, καὶ ἐξετάσων ἕκαστον, καὶ λόγον ἀπαρτήσων[35], εἰ μὴ παρασκευάζοντες αὐτοὺς χρησίμους, ἀπέχονται[36] τῶν ὑμετέρων· ἢ παρέχοντες αὐτοὺς εἰς τὴν χρείαν ἐπιτηδείους, συμφέρουσιν ὑμῖν ἄρχοντες. καὶ διὰ τοὺς τοιούτους, ὦ ἀθηναῖοι, λόγους, σωκράτης μὲν πολλοῖς ἀπήχθηται· τὰ δὲ ὑμέτερα ἐὰν ἄνευ φθόνου σκοπῇ τις, πολλαχῇ βέλτιον ἔχεν, ἐγκαλοῦντος ἀεὶ τούτου, καὶ ὀνειδίζοντος· ὅτι χρημάτων μὲν ἀθηναίοις οὖσι πολλὴ φροντὶς καὶ περὶ τοῦτο ἐσπουδάκασι. τῶν δὲ ψυχῶν, ὅπως ἄρισται γενήσονται καὶ αὐτῶν καὶ παίδων, οὐδὲ εἷς λόγος. ὧν καθ' ἑκάστην λεγομένων ἡμέραν, καὶ ταυτησὶ τῆς πολιτείας σωκράτους[37] συνεχῶς προϊούσης δεῖ νομίζειν τοὺς μὲν ἄγαν διακειμένους[38] οὐδὲν ὄνασθαι· τοὺς δὲ εἰδότας ἐρυθριᾶν, καὶ πεισθῆναι[39] καὶ γενέσθαι βελτίους. καὶ μὴν ἐν οἷς τοὺς[40] ἅπαντας γοητεύουσιν ἐντυγχάνων σοφισταῖς, τῷ πρωταγόρᾳ· τῷ γοργίᾳ. τῷ προδίκῳ· τῷ θρασυμάχῳ· τοῖς ἄλλοις οὓς ὁ μισθὸς ἐπὶ πᾶν χωρίον εἷλκεν, ὥσπερ ὁ θαλλὸς τὰ πεινῶντα πρόβατα· ὅτε τούτους ἐν τοῖς ἐρωτήμασιν ἐδείκνυ πολὺ τῆς δόξης, ἣν εἶχον, ἐλάττους. καὶ φρονοῦντας (ὡς εἰπεῖν) οὐδ' ὁτιοῦν, περὶ ὧν ἔφασαν[41] ἑτέρους διδάσκειν ἔχειν. τότε ὁμοῦ μὲν τὴν νεότητα τῆς πόλεως ἐξῃρεῖτο τῆς ἠλιθίου συνηθείας, ἅμα δὲ σο-

[34] εἴπως] fort. εἶτα πῶς.

[35] ἀπαιτήσων.

[36] ἀντέχονται.

[37] malim Σωκράτει in datiuo: hac viuendi ratione quotidie Socrate procedente. h. e. Socrate quotidie in hac viuendi ratione procedente.

[38] f. τοὺς μὲν ἄγαν ἀνιάτως διακειμένους.

[39] πεισθῆναι cohaeret cum εἰδότας, sed καὶ γενέσθαι cum δεῖ νομίζειν. oportet existimare — eos meliores quoque inde factos esse.

[40] τοὺς] imo vero τοῖς. cohaeret enim cum γοητεύουσιν σοφισταῖς ἐντυγχάνων.

[41] ἔφασαν] (a φημί) dedi asseuerarent ἔφθασαν Mor.

σοφίας ὑμῶν εἰς ἅπαντας ἀνθρώπους ἀπέστειλεν ὄνομα· εἰ τοὺς ὥσπερ δαίμονας πανταχοῦ θαυμαζομένους ἐπὶ τοῖς λόγοις οὓς ἀνεγίνωσκον ἐπὶ τῷ λαβεῖν. τούτους ἀπέφηνε ῥημάτων συλλογὴν παρεχομένους κενήν· νῦν [42] δὲ ὅτι πλεῖστον ἀπέχοντας, καὶ τοῦ τὴν φύσιν εἰδέναι περὶ ὧν ἐπεχείρουν λέγειν· καὶ δικαιότερον ἂν τελέσαντας ἀργύριον ἐπὶ τῷ μαθεῖν, ἢ λαμβάνοντας, ὥς τι τῶν δεόντων δυναμένους διδάσκειν. διὰ ταῦτα πάντα αὐτοί τε σωθέντες [43] περιεστήκειτε τὸν σωκράτην, ὁπότε τῶν τοιούτων ἐλέγχων ἅπτοιτο· καὶ τοὺς ἐπὶ σοφίᾳ φρονοῦντας ὁρῶντες καταδυομένους, καὶ μᾶλλον τῶν ἀνδραπόδων ἰλιγγιῶντας, καὶ ἀποροῦντας, καὶ περιβλέποντας ὅποι φύγοιεν, ἐγελᾶτε· καὶ ἅμα πρὸς ἐπιμέλειαν παιδείας ἀληθινῆς ἐτρέπεσθε· τοῖς τε παισὶ παρῃνεῖτε τοῦ ταῦτα ποιοῦντος ἔχεσθαι, νομίζοντες μεῖζον εἶναι κέρδος αὐτοῖς κατὰ μικρὸν [44] τῶν ἐκείνου μεταχεῖν καλῶν, ἢ τὸν ἐπὶ γῆς ἅπαντα χρυσόν· ὧν ἦν ποτε καὶ ἄνυτος, ὁ πικρὸς νυνὶ κατήγορος. καὶ γὰρ οἱ τούτου παῖδες καὶ προσῄεσαν, καὶ ἔχαιρον τῷ νῦν φεύγοντι τὴν δίκην· καὶ οὗτος [45], οὔτε ἀπέτρεπεν, οὔτε ἐμέμφετο· ὥσπερ οὐδὲ ὑμεῖς τοὺς ὑμετέρους αὐτῶν. εἰκότως. ἠπίστασθε γὰρ ὡς ὁ μὲν ὁμιλῶν, κἂν θαυμάσειεν· ὁ δὲ θαυμάζων, κἂν ζηλώσειε· καὶ τῷ πυκνῷ τῆς συνουσίας, ἐγγένοιτο ἄν τις ἐπιθυμία μιμήσεως. ἐπιθυμήσαντες δὲ τῶν ἐπιτηδευμάτων σωκράτους, ἔσονται τῶν πολλῶν εὐθὺς ἀμείνους· γαστριμαργίας μὲν καὶ μέθης, καὶ λήμματος ἀδίκου, καὶ ζεούσης ὀργῆς, καὶ θωπείας ἀνελευθέρου, καὶ τῶν τούτοις ἐοικότων νοσημάτων γεγονότες κρείττονες· κρυμὸν μὲν [46] δὲ καὶ θάλπος τῷ σώματι καθάπερ ἀδαμαντίνῳ δεχόμενοι· καὶ μήτε δίψῃ μήτε πείνῃ πιεζόμενοι· οἵους ὄντας ᾔδειτε, φο-

βερους

[42] νῦ] (in genitiuo), cohaeret cum ... um ἀπέχοντας.

[43] σωθέντες suspectum. num συνιόντες aut συμπαραθέντες?

[44] κατὰ μικρὸν] num καὶ μικρὸν vel parumper? vt μικρὸν sit aduerbialiter pro μικρῶς, ἐν ὀλίγῳ μέτρῳ.

[45] οὗτος] Anytus puta.

[46] μὲν delendum.

βερούς μὲν ἐπὶ στρατείας τοῖς ἐναντίοις ἐσομένους· ἀγαθοὺς δὲ ἐν βουλαῖς τὸ συμφέρον ἰδεῖν. τί οὖν ἡμῖν τὸν χρηστὸν ἄνυτον ἐξέμηνε; πόθεν ἀποκτεῖναι βούλεται τοῦτον, ὃ πολλάκις ηὔξατο γενέσθαι τοὺς υἱεῖς παραπλησίους; ἐν τοῖς λόγοις, ὦ ἄνδρες, τοῖς ἀληθὲς [47] ζητοῦσι, ἔδει τῷ δηλώσοντι σαφῶς ὃ προὐθυμεῖτο, παραδειγμάτων δή τινων· ὃ ποιεῖν [48] · ἅπαντες εἰώθαμεν· καὶ οὐδὲ τῷ πάνυ βουλομένῳ, τοῦτο φυγεῖν ἔνεστι. μεμνημένος δὴ σκυτοτόμων, καὶ βυρσοδεψῶν, καὶ τῶν ἀλουργὰ ποιούντων ἔρια, καὶ τῶν ἐπὶ ταῖς ἄλλαις τέχναις· καὶ λέγων· ὡς ἐφ' ὅτῳ τις διατρίβῃ, τοῦτ' ἂν εἰδείη μᾶλλον ἑτέρου, καὶ καλῶς ἂν κατίδοι φαυλότητα τῶν ἐν ἑαυτῷ, καὶ τοὐναντίον [49] ὑπ' αὐτῶν τῶν πραγμάτων ἐπὶ τοῦτον ἄνυτον ἤγετο· ᾧ τὸ μὲν ἀπὸ βυρσῶν εὐπορεῖν, οὐκ ἐφαίνετο δεινὸν, τῷ δὲ λόγῳ τῆς ἐργασίας ἀγανακτεῖ. καὶ τὸ μὲν ἔργον οὐκ ἔφυγε· δυσχεραίνει δὲ τὸ ῥῆμα· ἡμῶν δὲ ἕκαστος πολλάκις μέμνηται τῆς αὐτοῦ τέχνης· καὶ πρός γε χάριν οἶδε τῆς ἀπ' αὐτῆς προσόδου. ἐπεὶ καὶ αὐτὸς σωκράτης πολλάκις ἂν εἰπὼν τὸν αὐτοῦ πατέρα σωφρονίσκον, προσέθηκεν ἂν τὰ περὶ τοὺς λίθους· καὶ τὴν τῆς μητρὸς οὐκ ἀπεκρύπτετο τέχνην· ᾧ δῆλον ὡς οὐκ ἐφ' ὕβρει τῶν ἄλλων παρέφερεν· ἀλλ' ὅπως οἱ διάλογοι τὰ αὐτῶν λαμβάνοιεν· καὶ μηδὲν τῶν ὀφειλόντων εἰρῆσθαι σιγῷτο· διὰ τοῦτο ἀπολλόδωρος μὲν ἤκουε πρᾴως. καὶ ξενοκλείδης οὐ [50] γέγραπται. μόνου δὲ ὡς ἔοικεν ἀνύτου, καθάπερ τυράννου, κίνδυνον ἔχει μνησθῆναι· καὶ ἃ ποιεῖν τούτῳ δέδοται, ταῦτα οὐδενὶ συγκεχώρηται λέγειν. ἀλλ' ὅπερ ἔφην, μηδεὶς οἰέσθω τοῦτον ἀπὸ τῆς πρὸς ὑμᾶς εὐνοίας, καὶ τοῦ τὴν λύμην ἢ χείρους ποιεῖ τοὺς ὑμετέρους παῖδας ἐθέλειν ἐξελεῖν,

[47] τοῖς τἀληθές.

[48] ὃ ποιεῖν] id est παραδείγματα παραφέρειν.

[49] καὶ τοὐναντίον] scil. τὴν ὑπεροχὴν καὶ τὸ κάλλος. tum distinguendum est semicolo; nam ὑπ' αὐτῶν τ. π. — ἤγετο cohaerent cum λέγων.

[50] οὐ] imo vero οὐ. Socratem actione forensi persecutus non est.

λεῖν, ἐπὶ τοῦτον ἥκειν τὸν ἀγῶνα. εἰ γὰρ σωκράτης ὑπερέβαινε τἀληθὲς, καὶ τοῦτον ἐσέμνυνε φάσκων. ἀρχαῖον παρειληφέναι πλοῦτον, οὔτ᾽ ἂν ἠδικεῖσθε ὑμεῖς οὔτ᾽ ἂν ἠσέβητο τὸ θεῖον, οὔτ᾽ ἂν ἡ νεότης διέφθαρτο. νῦν δὲ οὐχ ὑμῖν βοηθῶν, ἀλλ᾽ ὑπὲρ αὐτοῦ λυπούμενος· οὐδ᾽ ὑπὲρ τῆς πόλεως τιμωρούμενος. ἀλλ᾽ ἀγανακτῶν εἴ πέρ ἐστι, καὶ δόξει πλάττειν αἰτίας [51]. καὶ συκοφαντεῖν ὑπέμεινε, πριάμενος τὸν ἐπὶ δραχμαῖς πάντα ἂν ποιήσοντα μέλιτον. μέγα δὲ ὑμῖν ἐρῶ τεκμήριον, ὡς ἑτέρωθεν κινούμενος, τὸ ὑμέτερον προΐσταται. ἤδη γὰρ τῆς γραφῆς ἀπενηνεγμένης, καὶ τῆς αἰτίας κεκηρυγμένης, περὶ σπονδῶν προσέπεμπε σωκράτη, τὸν μὲν ἀξιῶν ἀποστῆναι τοῦ μεμνῆσθαι τῆς τέχνης· αὐτὸς δὲ ὑπισχνούμενος διαγράψασθαι τὴν γραφήν. τοῦ δὲ φήσαντος οὐ παύσεσθαι τῶν ἀληθῶν [52] ἕως ἂν ἐμπνέῃ· χρήσεσθαι δὲ τοῖς αὐτοῖς περὶ τῶν αὐτῶν λόγοις· καὶ οὐ τοσοῦτον ἰσχύσειν τὴν κατηγορίαν, ὡς ἃ πρὸ αὐτῆς ἐνόμιζε προσήκειν λέγειν, ταῦτα ἐπ᾽ ἐκείνης [53] σιγᾶν· οὕτως ἤδη παρέδωκεν εἰς ὑμᾶς, τὸν οὐδὲν ὧν ἐνόμιζε δικαίων προδεδωκότα τῷ φόβῳ. ὥστε καὶ τοῦ νυνὶ κρίνεσθαι σωκράτην, εἰ δεῖ καὶ τοῦτ᾽ εἰπεῖν, οὐκ ἄνυτος οὐδὲ μέλιτος αἴτιος· ἀλλ᾽ αὐτὸς σωκράτης. εἰ γὰρ οὗτος τὴν ἐπικηρυκείαν ἐδέξατο, καὶ τοσοῦτον ἐπεισεν αὐτὸν, ἢ καθάπαξ ἔξω μνήμης ἀφιέναι τοῦτον· ἢ μεμνημένος κοσμεῖν ἀπὸ τῶν οὐ προσηκόντων, νῦν ἂν ἦν ἐν λυκείῳ λέγων ἅπερ εἰώθει· ἀλλ᾽ οὐκ ἦν ἔμφυτον τῷ γενναίῳ τούτῳ πτῆξαι καὶ ταπεινωθῆναι τῇ γραφῇ· καὶ μισθὸν τῆς αὐτοῦ σωτηρίας καταθεῖναι, τούτου [54] τὴν περὶ αὐτοῦ σιωπήν· ἀλλ᾽ ἠξίου τοῖς βεβιωμένοις σώζεσθαι· καὶ καταστὰς ὑπὸ ταῖς ὑμετέραις ψήφοις· διά γε τὴν ἀλήθειαν ἀθῷος [55]. ἀλλ᾽ οὐ ταῖς παρὰ τῶν κατηγόρων ἐπο-

νειδι-

[51] f. πλάττειν δεινὸς αἰτίας.

[52] f. post τῶν ἀληθῶν deest κηδόμενος aut tale quid.

[53] aut ἀπ᾽ ἐκείνης leg. aut eodem sensu ἐπ᾽ ἐκείνῃ. *post illam.*

[54] f. καταθεῖναι τούτῳ huic (Anyto) dependere.

[55] post ἀθῷος videtur ἀπιέναι vel ἀφεθῆναι deesse. qui infinitiuus pendet ex ἠξίου.

νειδίστοις διαλλαγαῖς [56]. ὡς μὲν οὖν οὔτ' ἄνυτος διαφθορᾶς τὴν νεότητα ἐχόμενος· καὶ ζημίαν αὐτοῦ νομίζων εἶναι, εἴ τις τοὺς ὑμετέρους παῖδας ποιήσει κακοὺς, μέλιτον τουτονὶ γράψασθαι σωκράτην ἀνέπεισε· σωκράτει ἐξὸν [57] ἀπηλλάχθαι τοῦ νῦν παρόντος κινδύνου, θαῤῥεῖν ἐπῆλθε τὴν κρίσιν τῷ μηδὲν αὐτῷ συνεῖναι [58] φαῦλον, μηδὲ τιμωρίας ἄξιον, ἐκ τούτων ὑμῖν δεδηλῶσθαι νομίζω· ἔστι [59] δὲ, ὡς ἐνίων ἤκουσα λεγόντων ἡνίκα ἐκληροῦσθε· πάνυ γὰρ τισιν ἔπεστι θαυμάζειν, εἰ πάλαι πονηρευομένου σωκράτους, καὶ διατριβὰς ἐπ' ὀλέθρῳ τῶν νέων ποιουμένου, τοσούτοις ὕστερον χρόνοις διὰ ταῦτα ἀγανακτῶν ὤφθη. τὸ τοῦ πράγματος αἴτιον [60], ἐζητεῖτε παρ' ἄλλοις. ἐντεῦθεν δὴ καὶ αὐτὸς ποιήσομαι τὴν τῶν ἐλέγχων ἀρχήν. ἐξ ὧν καὶ διότι κατήγορος ὀψέ ποτε ἐπέστη, μᾶλλον εἴσεσθε· ἐρωτῶ δὲ ὑμῶν ἐναντίον, τὸν φιλόπαλιν ἄνυτον· εἰπέ μοι πρὸς θεῶν, ὁ γέρων οὗτος ὁ γεγονὼς ἑβδομήκοντα ἔτη, χθὲς καὶ πρώην ἐγένετο πονηρὸς [61] διδάσκαλος· πέρυσι, τῆτες, τὸν δ' ἄλλον ἅπαντα χρόνον χρηστὸς ἦν· οὐδὲν οὔτε μικρὸν οὔτε μεῖζον βλάπτων τὴν πόλιν· καὶ δεῖ δήπου διὰ μὲν ἐκεῖνον [62], ἐν ᾧ βέλτιστος ἦν ἐπαινεῖσθαι. διὰ δ' αὖ τὴν συμβᾶσαν μεταβολὴν, μισεῖσθαι. τί φῄς ἄνυτε· τί σιγᾷς· ἄνωθεν ἦν μιαρὸς ἄνθρωπος, ἢ πρὸς γῆρας ἥκων ἐπήνεσε τὴν κακίαν; καὶ μὴν καὶ σιγῶν ἀποκέκρισαί μοι· ὅτε γὰρ ἀνδρῶν τεθνεώτων ἐμέμνησο φάσκων, ὑπὸ μὲν ἐκείνων κακῶς πεπονθέναι τὴν πόλιν, αὐτοὺς δὲ ὑπὸ τούτου διεφθάρθαι, ὡμολόγεις μὴ νῦν ἡμῖν ἦρχθαι τῆς διαφθορᾶς τὸν σωκράτην, ἀλλ' ἐξ οὗπερ εἰς

τὸ

[56] ταῖς — ἐπονειδίστοις διαλλαγαῖς] non improbo. mallem tamen ob praemissum διὰ constantiam in casibus, et sic legi καὶ τὰς — ἐπονειδίστους διαλλαγάς, qui accusatiui apti erunt e διά.

[57] f. σωκράτει τε ἐξόν.

[58] συνειδέναι conscius esse.

[59] recte coniecit Morellus in margine ἔτι leg. esse pro ἔστι. sed etiam pro ὡς malim ὧν. id est ἐκ τούτων νομίζω δεδηλῶσθαι, ἃ ἤκουσα.

[60] hic deesse quaedam videntur.

[61] malim πονηρῶν nequitiarum.

[62] ἐκεῖνον] scil. χρόνον.

τὸ φιλοσοφεῖν κατέστη. διὰ τί οὖν, ὦ κηδεμὼν τῶν νέων, ἀρχαία μὲν ἡ πονηρία, βραδεῖα δὲ ἡ γραφή. καὶ πάλαι μὲν ἡμᾶς ἑώρας ἀδικουμένους, ὀψὲ δὲ ἥκεις βοηθήσων· οὐκ ἐπεδήμεις γενεὰν ὅλην, καὶ ἔτι πλέον· οὐχ ἑώρας τοὺς ἐρῶντας αὐτοῦ νεανίσκους· οὐκ ἐπήκουες τῶν λόγων. καὶ γὰρ οὐ τῷ γε ἐσται[63] ἀναχωρεῖν σοι, ὅτι ἄρα καταδὺς οὗτος εἰς ἀγωνίαν[64] καὶ θύρας ἐπιθεὶς καὶ καταλαβὼν ὅρκοις τοὺς συνόντας, ἦ μὴ κρύψειν[65] τὴν ἀκρόασιν· καὶ θῦμα θυσάμενον[66] δι' ἀπορρήτων, ἐδίδασκε τοὺς λυμεῶνας λόγους οἷς τὸν μὲν ἄλλον ὑπῆρξε λανθάνειν χρόνον· ὕστερον δὲ εἰς φῶς ἐλθεῖν συνέβη τὴν γλῶτταν ἀκολάστων[67] τινὸς ἐκλελαληκότος. ἀλλ' ἴστε ὅτι τῶν τόπων τοὺς πλείστους συνάγοντας ἀνθρώπους, ἀνὴρ ἠγάπα· καὶ τοσοῦτον ἀπεῖχε τοῦ χαίρειν ταῖς ἐρημίαις, ὥστε μᾶλλον ἄν τις αὐτοῦ, τὸ τὰ πλήθη διώκειν, ἐπ' αἰτίαν ἤγαγεν, ἢ τὸ τοῖς νέοις, οὐδενὸς παρόντος, ὁμιλεῖν. εἰς οὖν ἦθα τῶν ἀκουόντων, καὶ τὴν ζημίαν οὐκ ἀγνοούντων· καὶ φανερῶς ἐφ' ἃ χωρεῖ τὸ πρᾶγμα συνιόντων[68]. τί οὖν ἔδει τὸν εὔνουν ποιεῖν; ἀγανακτεῖν; βοᾷν; μὴ διδόναι τῷ κακῷ βαδίζειν[69] ἄνδρες ἀθηναῖοι λέγειν, ἐπὶ τοὺς νόμους ἀσκεῖ σωκράτης τοὺς νέους· ἡ πολιτεία κινδυνεύεται. θρασεῖς ἡμῖν καὶ τυραννικοὺς καὶ ἀφορήτους, καὶ τὸ ἴσον ὑπερορῶντας, ὁ σοφιστὴς ἀνθρώπους δημιουργεῖ· οὐ κωλύσομεν;

[63] f. καὶ γὰρ οὐχ ὧδέ γε ἔσται — nam huc quidem, ad hanc certe latebram, vel perfugium, non licebit tibi receptum habere, vt aias, Socratem clam difcipulos praeceptis fuis initiaffe.

[64] εἰς γωνίαν *in angulum.*

[65] ἦ μὴν κρύψειν.

[66] θυσάμενος (in nominatiuo.)

[67] ἀκολάστου (in genitiv. fing.) ideo quod aliquis, qui effet linguae incontinens, effutiiffet. διότι τις ἀκόλαστος ὢν κατὰ τὴν γλῶτταν ἐκλελάληκε

[68] συνιέντων *intelligentium.* non enim a συνιέναι *coire* vel σύνειμι repetendum hic loci eft, fed a συνιέναι vel συνίημι. *intelligo.*

[69] f. τῷ κακῷ ὁδῷ βαδίζειν via, id eft commode, leniter, nullo impediente, libere procedere, nusquam inhiberi.

σομεν; οὐκ ἐπισχήσομεν; οὐκ ἐκβαλοῦμεν τοῦτον πρὶν τὴν τῶν νόμων ἰσχὺν ἐκβαλοῦσιν οἱ παρὰ τούτου τρεφόμενοι; ταῦτα ἔδει λέγειν· καὶ πρὸς τούτῳ τί ποιεῖν [70]· ἄνυτον γραψόμενον κινεῖν, εἰ μὴ αὐτός γε ἐβούλετο. ἦν βασιλεὺς ἡμῖν, ἀρχὴ, καὶ τὸν ἄλλον ἅπαντα χρόνον, ἄνυτε· ἦσαν εὐμολπίδαι· ἦν ἅπασα ἁπλῶς ἡ περὶ τὴν εὐσέβειαν φυλακή. λέγε δὴ τουτοισὶ τὴν αἰτίαν τῆς βραδυτῆτος· ἀπράγμων ἦσθα· καὶ μὴν ἡ νυνὶ παρασκευὴ, καὶ μηδενὸς ἀπέχεσθαι πρὸς τὸ τὸν ἄνθρωπον ἀναρπάσαι, πᾶν τοὐναντίον μαρτυρεῖ. ἀλλ' οὔπω τὸν δῆμον ἐφίλεις, καὶ διὰ τοῦτ' οὐκ ᾤου δεῖν φροντίζειν· εἴ τινες εἰς ἄνδρας ἐλθόντες ἐκ πονηρῶν ἀκουσμάτων καταλύσουσιν αὐτόν· πότερον μὲν σὲ [71] δεῖ κατηγορεῖν· τοῦτον δὲ ἀποθνήσκειν· ἢ τὸν μὲν ὧν ἔβλαπτε· σὲ δὲ ὧν ἔχων ἐλέγχειν, ἐπέτρεπες ἀδικεῖν, ὑπέχειν δίκην. μετὰ γὰρ τοῦ κακῶς ποιοῦντος, τὸν τὸ παρὸν κωλύειν οὐκ ἐθελήσαντα [72], θετέον· ἦν οὖν οὐδὲν ἠδίκει σωκράτης, καὶ κατὰ τοῦτο ἡσυχάζων, νῦν ὡς οὐ δικαίως ἐπεξέρχῃ δεικνύεις· ἢ κακῶς ποιεῖν ἐπιτρέπων, τὴν πόλιν συνηδίκεις ἐν τῷ περιορᾷν, ἃ παῦσαι πρόχειρον ἦν. ἀλλ' οὐχ ἡμάρτανεν, ὦ ἀθηναῖοι, σωκράτης. οὐδ' ὀφείλει δίκην ἄνυτος ἡμῖν, τῷ συγκεχωρηκέναι τοσαῦτα τολμᾷν ἐκείνῳ· ἀλλὰ τὸν μηδὲν ἀδικοῦντα κρίνει νῦν. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις, οὓς ἴσμεν τῶν οἰκετῶν κλέπτοντας [73] καὶ περὶ σκεύη κακούργους, ἐφέντας

[70] sic distinguo τί ποιεῖν ἄνυτον; hic desinit interrogatio. haec dicere oportebat Anytum, et quidnam aliud praeterea facere? hoc nempe ἄλλον τινὰ γραψόμενον κινεῖν — aut si mavoles illa duo vocabula prima ἄλλον τινὰ remoueri, saltim a voc. γραψόμενον incipiet responsio, et ἄλλον τινὰ erit subaudiendum.

[71] σὲ μὲν malim, vocabulis transpositis.

[72] aut τὸ κακὸν, παρὸν, κωλύειν οὐκ ἐθελήσαντα leg. est, aut τὸ delendum. Vtrum optabis, ad παρὸν tacite semper erit κωλύειν subaudiendum. cum, qui pestem impedire noluerit, cum potuisset impedire.

[73] malim κλέπτας ὄντας.

τας [74] αὐτοῖς ἀεί τι τῶν ἔργων ὑφαιρεῖσθαι, περιμένομεν ἐν γήρᾳ παρ᾽ αὐτῶν δίκην λαβεῖν· ἀλλ᾽ εὐθὺς κολάζομεν· καὶ πέδαι καὶ μάστιγες, καὶ μύλων· καὶ ὅτε πρῶτον ἕλοιεν [75], στρεβλοῦνται· σωκράτην [76] δὲ δοκεῖ τὸ πᾶν ὑμῖν ἀναχέεσθαι τοσοῦτον χρόνον ἄνυτος διορύττοντος τὴν δημοκρατίαν, καὶ παρασκευάζοντος ὑμῖν ὀλεθρίους πολίτας· ἀλλ᾽ ἐῶ τουτονὶ καὶ θῶμεν ἄνυτον ὑπὸ τοῦ μᾶλλον ἑτέροις πράγμασι προσέχειν τὸν νοῦν, κεκωλῦσθαι ταῦτα ἰδεῖν τὰ πονηρεύματα· ἔστι μὲν γὰρ οὐδὲν τούτων ἄξιον [77], ὦ θεοὶ, συγγνώμης· μὴ γὰρ ἔστω [78] μηδενὶ ὃς τῇ τῶν οἰκείων προνοίᾳ, δι᾽ ἣν ἐπὶ τὸ σχῆμα τῆς πολιτείας. ὁρῶν ἰόντα κίνδυνον περιόψεται [79]. ὅμως δ᾽ οὖν ἀφείσθω τῆς μέμψεως, εἰ τῶν κοινῶν ἀπ᾽ ἀσχολίας [80] τῆς ἀπὸ τῶν ἰδίων ἠμέλησεν. ἀλλὰ καὶ τούτου σιγῶντος πῶς οὐχ ἧκεν ἄλλοθεν κατηγορία καὶ κρίσις; οὐ μεστὸν μὲν τὸ βῆμα τῶν λεγόντων [81], ἐστὶν ἐκκλησίας, πλήρη δὲ τὰ δικαστήρια τῶν γραφομένων, τῶν μὲν ἐπὶ τοῖς ὄντως ἀδικήμασι· τῶν δὲ δι᾽ ἔχθραν καὶ συκοφαντία· ἔστι δὲ ὧν ἐπὶ τῷ ταράξαι καὶ λαβεῖν ἀργύριον· οὐ μεστοὶ γεγόναμεν τῶν πρώτων ἐπωνυμιῶν ἐκκειμένων [82], ὁ δεῖνα τοῦ δεῖνος, τὸν δεῖνα ἐγρά-

[74] ἐφέντες in nominatiuo.

[75] f. ἁλῷεν *deprehensi* in facinore vel *conuicti fuerint*. aut ἕλοιμεν *deprehenderimus* eos in facinore.

[76] aut σωκράτην δὲ τὸν πάνυ ὑμῖν — διορύττοντα — et παρασκευάζοντα — aut σωκράτους δὲ τοῦ πάνυ — et tum genitiui insequentes manebunt.

[77] f. ἐστὶ γὰρ οὐδὲ τοῦτ᾽ ἄξιον —

[78] ἔστω] scil. συγγνώμη. Sed satius est sic legi μὴ γὰρ ἔστω μηδενὶ πρόφασις ἡ τῶν οἰκείων πρόνοια. nemini praetextui esto vel inseruito cura rei familiaris.

[79] constructio est ὁρῶν κίνδυνον ἐπὶ τὸ σχῆμα τῆς πολιτείας ἰόντα; περιόψεται. quae cura tanta sit, vt, ei deditus et affixus, periculum, quod videat ad statum reip. accedere, tamen contemnat.

[80] malim ὑπ᾽ ἀσχολίας.

[81] deest aliquid.

[82] τῶν πρὸ τῶν Ἐπωνύμων ἐκκειμένων non satietas nos cepit illarum formularum ὁ δεῖνα τοῦ δεῖνος, quae formulae solent illis in tabulis exarari, quae tabulae pendere solent in columnis in foro, coram simulacris decem heroum Eponymorum.

ἐγράψατο· ἀλλ᾽ οὐχ᾽ ὁ δεῖνα τοῦ δεῖνος σωκράτην ἀλωπεκῆθεν, οὔτε ἀσεβείας, οὔτε λύμης τῶν νέων· οὐχ᾽ ὕβρεως· οὐχ᾽ ἄλλου τινός· ἀλλ᾽ οἱ φιλοτιμούμενοι καὶ τὰ αὐτῶν εἰς ὑμᾶς ἀναλίσκοντες, καὶ προςάται τῆς πόλεως ἐπιθυμοῦντες ἀκούειν, καὶ τῷ [83] τὰ κοινὰ θεραπεύειν σεμνυνόμενοι, καὶ τὰς ἀντὶ τούτων τιμὰς παρ᾽ ὑμῶν λαμβάνοντες διὰ μὲν κώπας [84] καὶ μνᾶς ὀλίγας οὐκ ὤκνουν γράφεσθαι καὶ κατηγορεῖν· νομίζοντες τὴν ἐπὶ [85] τῶν ἐλαττόνων ἀκρίβειαν, τῶν μειζόνων εἶναι πέρι [86] σωτηρίαν· ἄνθρωπον δὲ ὁρῶντες ὑποσπῶντα τὰ τῆς πόλεως ἰχυρὰ καὶ τοσαύτῃ χρώμενον κατὰ τῶν νόμων τρυφῇ, ὥςε ἐν μέσῳ μηδὲν ὑποςελλόμενον πράττειν τῆς πολιτείας κατάλυσιν, εἴων, ἐπέτρεπον συνεχώρουν· μονονοὺ δωρεῶν ἠξίων. καὶ τίς ἂν πιςεύσειε. καί τοι τίς ὑμῶν οὐκ οἶδε πηλίκον τινὲς ὑμῶν παρ᾽ ὑμῖν δυνηθέντες, ἐν εὐδαιμονούσῃ, καὶ μέγιςον ἰχυούσῃ τῇ πόλει ςρατηγοῦντες· τὸ δὲ ἔργον [87] εἰς μίαν τὴν αὐτῶν ἀρχὴν μεταθέντες, καὶ πόλιν ὅλην λακεδαιμόνων εἰς τὸν φθόνον τὸν αὐτῶν κεκινηκότες, καὶ ναυμαχίαν νενικηκότες· καὶ νήσους εἰληφότες, ὅμως οὐ διέφυγον τὸ μὴ δοῦναι λόγον, ἐν τουτοισὶ τοῖς δικαςηρίοις, οὐδὲ τοὺς βουλομένους κατηγορεῖν ἀπέςησε τῆς γραφῆς. τὸ τῶν κριθησομένων ἀξίωμα. ἀλλ᾽ ἔφευγον· ἠγωνίζοντο· ἀπελογοῦντο· ταχὺ γοῦν ἔδεισαν τὴν πενίαν σωκράτους, καὶ τὴν τῶν δικανικῶν ἀγώνων ἀπειρίαν, οἱ τὸν ποικιλώτατον τῶν ῥητόρων καὶ πολέμου καὶ εἰρήνης τὸ τὸν ὅλων κύριον [88] κρίναντες. τί οὖν ἦν τῆς σιωπῆς αἴτιον; οὐ τὸ μὴ εἶναι τοὺς τὰ ἀδικήματα ὁρῶντας· ἀλλὰ τὸ, τοῦτον νῦν, συκοφάντου πράγματα ποιεῖν· καὶ μὴν εἰ τὸ πολλάκις κεκρῖσθαι τὸν φεύγοντα πρὸς τῶν κατηγόρων ἐςίν· ὧς γε [89] μήτε ταύτην μήτ᾽ ἄλλην ἐπήνεγκεν αἰτίαν μηδὲ εἷς, πῶς οὐκ ἂν οὗτος τούτῳ [90] πρὸ τῶν ἄλλων ἀποφεύγῃ;

[83] τῷ] dedi. τὸ Mor.

[84] κώπας] malim δραχμάς.

[85] ἐπὶ] dedi. ἀπὸ Mor.

[86] πέρι delendum.

[87] τὸ δὲ ἔργον] hic circiter videtur aliquid deesse.

[88] f. καὶ εἰρήνης καὶ τῶν ὅλων κύριον.

[89] ᾧ γε cui.

[90] τούτῳ] id est διὰ τοῦτο. ἐν τούτῳ per hoc.

φεύγῃ; πολλῶν δὲ ἐνόντων εἰπεῖν, τὸ μὲν ἁπάντων ἀτοπώτερον[91] ἐπὶ τὸν ἐν λυκείῳ διατρίβοντα, καὶ πάντα τὸν βίον ἐν τῷ διαλέγεσθαι καὶ ζητεῖν ἀνηλωκότα, τῶν ῥητόρων αἰτεῖ[92] γραφάς· ἴσε δήπου τοῦθ᾽ ὅτι τῶν τὰ κοινὰ πραττόντων, καὶ ἐπὶ τὸ βῆμα ἀνιόντων, καὶ γνώμας ἀναγορευόντων[95] καὶ ψηφίσματα γραφόντων, τούτων ἐστὶ τὸ τοῖς τοιούτοις ἐπιχειρεῖν οἱ τὸ δύνασθαι βλάπτειν τὸν δῆμον, ἐξ αὐτοῦ τοῦ παρὰ τῷ δήμῳ δύνασθαι λαβόντες ἔχουσιν[94]· εἰ δέ τις ἐν ταῖς παλαίστραις πρὸς τοὺς σοφιστὰς ἢ τινας ἄλλους τῶν ἀεὶ συγγινομένων περὶ τῶν ἀεὶ πιπτόντων[95] φιλοσοφεῖ· πῶς ἂν οὗτος οἷός τε ᾖ τὴν πολιτείαν μετακινεῖν. τουτὶ μὲν, ὦ ἄνδρες, τοσοῦτον ὂν ἐῶ. ἐκεῖνο δ᾽ αὐτὸν ἐρήσομαι. σωκράτης ἐμίσει τὴν δημοκρατίαν, ἄνυτε, καὶ τύραννον ἡδέως ἂν εἶδεν ἐφεστῶτα τῇ πόλει· τίνα τοῦτον, ἢ πρὸς διὸς αὐτόν; ῥαδίως γ᾽ ἂν ἄνθρωπος[96] ἐμισθοδότησε δορυφόρους· καὶ ξενικὸν συνεστήσατο· καὶ πολλοὺς οἰκέτας ὥπλισεν; ἀλλ᾽ αὐτὸς μὲν οὐ δεῖτο του[97] χρήματος. ἑτέρους δ᾽ ἐνῆγε. πάλιν τοίνυν ὥσπερ ἠδίκει[98], μὴ πάλιν κρίνων σωκράτην. εἰ γὰρ ὅσοι τούτῳ συγγεγένηνται διεφθαρμένοι τυγχάνουσι, καὶ καταφρονεῖν ἐπαιδεύθησαν τὸν νόμον[99]. τί μαθὼν οὐ πάντας ἡμῖν τούτους παρέδωκε; τί μὴ κατὰ πάντων ἐπενήνο-

[91] hic rurſus videtur aliquid deeſſe.

[92] f. αἰτεῖν (in infinitiuo) omnium abſurdiſſimum hoc eſt, ſcil. aduerſus hominem, qui in diſputando vitam contriuit, poſcere actiones eiusmodi, quales rhetores tractant. ἴσε δὲ δήπου atqui noſtris procul dubio.

[93] ἀγορευόντων ſimplex malim.

[94] circa ἔχουσιν deeſt aliquid, e. c. ἀφορμὴν τοῦ κακουργεῖν.

[95] num συμπιπτόντων de rebus identidem euenientibus.

[96] malim ἀνθρώπους in accuſ. plur.

[97] οὐκ ἐδεῖτο τοῦ χ.

[98] f. πάλιν τοίνυν ἠδίκει (Anytus puta) μὴ κρίνων Σ. omiſſis duobus vocabulis inutilibus ὥσπερ et πάλιν. rurſus ergo remp. laedebat Anytus. eo, quod Socratem in iudicium vocare omiſit.

[99] f. τῶν νόμων.

νήνοχε τὰς γραφάς; οὐ γὰρ δὴ τὸν μὲν παρακαλοῦντα πρὸς τὰ πονηρά, δίκης ἄξιον νομιστέον. δι' ὧν δὲ τὰ ἔργα ἂν ἐπράχθη, τούτοις δεῖ πράως ἔχειν· οὐδὲ γὰρ ἐν τοῖς φονικοῖς νόμοις οὕτως ὁρῶμεν διῃρημένον· ἀφεῖσθαι μὲν αἰτίας τὸν δράσαντα· ἄγει δὲ εἰς κρίσιν τὸν αἴτιον· ἀλλὰ τὸν ἀνδροφόνον προσειπὼν, τούτῳ τὸν αἴτιον τοῦ φόνου προσέθηκε· μιαρώτερον ἡγούμενος τὸν πράξαντα τοῦ πεπεικότος. ἀλλὰ νῦν ὁ μὲν πείθων ἀνελεῖν τοὺς νόμους σωκράτης κρίνεται· τῶν δὲ πεισθησομένων τῇ τούτων καταλύσει, λόγον οὐδεὶς ἀπαιτεῖται· καίτοι τὸν φάσκοντα τῶν νόμων φροντίζειν, διὰ πάντων τῶν δημοκρατίᾳ δυσμενῶν, χωρεῖν προσῆκεν· ἀλλ' οὐ τοὺς μὲν ὑπερπηδᾷν, ἑνὶ δὲ πολεμεῖν μόνῳ· δῆλον γὰρ ὅτι καὶ σωκράτους ἀποθανόντος οἵγε ὑπὸ τούτου διεφθαρμένοι κακοὶ περὶ ὑμᾶς ἔσονται. τίς ἂν οὖν ἰατρὸν ἀποδέξαιτο, παντὶ μὲν ὀφείλοντα βοηθῆσαι τῷ σώματι; τηροῦντα δὲ ἐν τῷ πλείονι τὸ νόσημα. εἰ μὲν οὖν σωκράτην μὲν ᾔδει πονηρὸν ἄνυτος ούτοσὶ, πονηρὸν δὲ οὖν οὐκ ἠπίστατο διδάσκαλον [100], καλῶς ἂν ἐπὶ μόνον εἴη. νῦν δὲ τῆς νεότητος ἡμῶν, ὥς φησι, διεφθαρμένης, καὶ ποθέσης ἑτέραν πολιτείαν διὰ τοὺς τούτου λόγους, κοινὴν ἔδει δήπου, καὶ τὴν κατηγορίαν εἶναι· τοῦτο γὰρ ἂν ἦν θαῤῥεῖν ἡμῖν τελέως παρέχοντος, ἀλλ' οὐ ποιοῦντος τοὺς μαθητὰς χαλεπωτέρους τῷ τοῦ διδασκάλου θανάτῳ. πόθεν οὖν σωκράτης κρίνεται μόνος; ἐνεθυμήθη πρὸς αὐτὸν ὁ κατήγορος· ὅτι τοῖς μὲν πράγμασι καὶ τοῖς ἐκ τῆς ἀληθείας οὔτ' ἂν τοῦτον, οὔτ' ἂν ἄλλον οὐδένα τῶν τούτῳ πεπλησιακότων ἕλοι. τὰ δ' ὄντα αὐτῷ κατὰ σωκράτους, οὐκ ἂν ὑπάρχει [1] κατὰ τῶν ἄλλων. ταῦτα δ' ἐστὶ τί; σοφιστὴς καλεῖται. πολλοῖς προσκέκρουκε· κεκωμῴδηται· τῶν εἰσφερόντων οὐκ ἔστιν. ἀλλ' οὐκ ἐπὶ τοὺς νέους ταῦτα ἂν εἶχεν ἐφόδια, καθ' ὧν οὐκ ἐῤῥύησαν διαβολαί· τοῦτ' ἔδεισεν ἐνδικασταῖς αἰτιάσασθαι· ἐπεὶ καὶ κατὰ τούτου ψευδέσι διαβολαῖς οὐκ ἐλέγχοις πιστεύων διώκει. σκέ-

[100] f. πονηρῶν δὲ οὐκ ᾔδει διδάσκ. (tunc οὖν.

[1] f. ὑπάρχοι in optat. aut ὑπάρχῃ in coniunctiuo.

σκέψασθε δέ. μισόδημος φησὶν ἐστί· καὶ τοὺς συνόντας πείθει τῆς δημοκρατίας καταγελᾶν. τί ποιῶν ἄνυτε πρὸς θεῶν; λόγον συνθεὶς ἀνέγνω τοῖς[2] ἑτέροις κατὰ τῆς δημοκρατίας. ἀλλ᾽ οὐκ ἔγραψε μὲν, οὐδὲ ἀνέγνω, εἶπε δὲ ἀπὸ στόματος, οὕτως, ὡς δεῖν[3] μεθιστάναι τὴν πολιτείαν. ἤκουσέ τις αὐτοῦ λέγοντος· μικρὰν μὲν γεγονέναι τὴν πόλιν νόμοις διοικουμένην, εἶναι δὲ μεγάλην, ει τυράννων ἐξουσίαις ἤγετο; ποῖον λύκειον τοιούτους ἐδέξατο λόγους; ποία παλαίστρα· ποῖον ἐργαστήριον· καίτοι τί τὸ κωλῦον ἦν ἐπὶ μοναρχίαν προτρέπειν ἀποκεκαλυμμένον· καὶ μηδὲν παραλιπεῖν, ὧν εἰκὸς τὸν ἐρῶντα μεταστάσεως. εἰ μὲν γὰρ ὑφεωρᾶτο κίνδυνον ἐκ τῶν λόγων, ὅλως ἂν ἐσίγα ταῦτα, δι᾽ ἅπερ νῦν κρίνεται· νομίζων δὲ ἐν φίλοις τοῖς ἀκροωμένοις ἐρεῖν, οὐκ ἂν ἦν[4] ἐπὶ γυμνὴν τὴν παραίνεσιν. ἐπῄνεσεν ἂν πεισίστρατον· ἐθαύμασεν ἂν ἱππίαν· ἠγάσθη τὸν ἵππαρχον· ἐκάλεσεν εὐδαιμονίαν τῶν ἀθηνῶν, ἐκεῖνον τὸν χρόνον· οὗτος τῶν συμβουλευόντων ὁ τρόπος, διαῤῥήδην εἰπεῖν ἃ φρονεῖ[5]· πάντα φθέγξασθαι λόγον· πᾶν ὃ[6] μέλλει πείσειν προσάγειν· ἡσθῆναι πείσαντα, χαλεπῶς ἐνεγκεῖν ἁμαρτόντος[7]· ὧν οὐδὲν ἂν ἔχῃ δεῖξαι πεποιηκότα σωκράτην, ὁ φάσκων αὐτὸν συμβεβουλευκέναι ζητεῖν τοῖς νέοις, ὅπως ἡ πόλις δουλεύσῃ. εἰκὸς δ᾽ ἦν[8], ὦ ἄνδρες, καὶ εἰ σφόδρα τὴν πόλιν[9] ἐδεδοίκει τὸ τῆς συμβουλῆς σαφές· καὶ διὰ τοῦτο οὕτως[10] ἔλεγεν ἐπικρυπτόμενος, ὡς ἄδειαν εἶναι μὴ πείσαντι χρόνου γε προϊόντος, καὶ τοῦ πράγματος τοῖς νέοις οὐκ ἀπαρέσκοντος, τολμῆσαι καὶ φανερὸν εἰπεῖν. ἡ νέους

μὲν

[2] malim τοῖς ἑταίροις (per αι) sodalibus.

[3] malim δεῖ in indicatiuo, aut δέοι in optatiuo.

[4] ἦν] f. ᾔει non iisset.

[5] ἃ φρονεῖ] subaudi τις.

[6] ὃ bene habet, si est nominatiuus regens v. μέλλει. omne quod vim esset habiturum persuadendi. malim tamen ᾧ omne, per quod ipse esset persuasurus.

[7] malim ἁμαρτόντα.

[8] εἰκὸς δ᾽ ἦν] cohaeret cum τολμῆσαι paulo post.

[9] τὴν πόλιν delenda videntur.

[10] οὕτως] sic dedi οὗτος Mor.

μὲν ἐν τῷ δήμῳ λέγοντας οὐδὲ τοῦ θορύβου τὸ μέγεθος ὧν ἐσπουδάκασιν ἀφίστησιν· ἀλλὰ πᾶν ὑπομένουσιν ἐπὶ τοῦ τὸ [11] δοκοῦν αὐτοῖς καταστῆσαι κύριον· σωκράτης δὲ, καθ' ἡσυχίαν ἐξὸν τοὺς ἀκροαμένους λαβεῖν, ἀντιλέγοντος οὐδενὸς προὐδίδει τὴν ἐπιθυμίαν τὴν αὐτοῦ, δίκαιον οὐκ ἔχοντα λόγον· τὸ δὲ πάντων μέγιστον, μετέπεσε δὶς ἡμῖν ἤδη τὸ σχῆμα τῆς πολιτείας, σωκράτους ἐπιδημοῦντος, καὶ ὄντος ἀθήνησι· τοῦτο μὲν μετὰ τὴν ἐν σικελίᾳ συμφοράν· τοῦτο δὲ μετὰ τὴν ἐν αἰγὸς ποταμοῖς ἀτυχίαν· ἔστιν οὖν εἰπεῖν. ὅτι μετέσχεν ἀνὴρ τῆς τῶν τετρακοσίων ὀλιγαρχίας, ἢ τῶν τριάκοντα παρανομίας· τὸν πείσανδρον ἐμιμήσατο· μετὰ θραμένους [12] ἐξήτασαι· τῷ Φρυνίχῳ ταῦτα πειῶν ὤφθη. ἀλλ' οὐκ ἔδειξεν αὐτὸν ἐν μέσῳ, λάθρα δὲ τὸ πρᾶγμα συνέθηκεν, ὡς ἐν ὄχλῳ μὲν οὐκ εἰωθὸς [13] χρῆσθαι· τῶν δ' αὐτῶν ἐκείνοις ἐπιθυμῶν. ἑτέρου ταῦτα ἦν, τοῦ καὶ τῶν τετρακοσίων ἑνὸς, καὶ λόγον ὕστερον, ὧν ἔδοξεν ἀδικεῖν, δεδωκότος. σωκράτης δὲ οὔτε φυομένου συνεψήφατο τοῦ πράγματος, οὔτε ἀκμάζοντος ἐκοινώνησεν, οὔτε πεπραγμένου κέκριται. οὐ μὴν οὐδὲ τερπόμενός γε ἐφάνη ποτὲ τῇ μεταστάσει· καὶ συνευχόμενος τοῖς ἔχουσι τὴν ἀρχήν· ὡς ἄν τις δειλίᾳ φεύγων τὴν κοινωνίαν· πονηρίᾳ δὲ χαίρων τῷ κακῶς πάσχειν τὸν δῆμον· οὐ τοίνυν οὐδὲ τῶν τριάκοντα ἦν οὔτε συνάρχων, οὔτ' ἐπαινετής· ἀλλ' οὕτως οὐκ ἤρεσκον ἀλλήλοις, ὥσθ' ὁ μὲν κατηγορεῖ [14] τῶν ὑπ' ἐκείνων πραττομένων· κριτίας δὲ ὁ μαθητής τε καὶ φίλος τιμῆς ἐτιμᾶτο [15] τῷ διδασκάλῳ. ἔστιν οὖν ὅπως ἄνθρωπος τυραννικὸς ἀποῦσαν μὲν κατασκευάζει [16] τὴν τυραννίδα· παρούσῃ δὲ ἄχθοιτο· καὶ τέρποιτο μὲν ἂν ἰδεῖν ἄκυρον τῶν πραγμάτων τὸν δῆμον· ὁρῶν δὲ λυποῖτο.

[11] f. ἐπὶ τῷ quo viſa ſibi rata reddant, et effectui dent.

[12] μετὰ θηραμένους cum Theramene et ταὐτά.

[13] f. ὡς ἂν ὄχλῳ μὲν οὐκ εἰωθὼς χρ.

[14] κατηγόρει (in imperfecto).

[15] num τῆς ἐσχάτης τιμωρίας ἐτιμᾶτο extremo ſupplicio dignum cenſebat Socratem?

[16] κατασκευάζοι (in optativo).

το. πῶς τοίνυν ὁ τυραννοδιδάσκαλος [17], ἐπίδειξον· ἄγων τοὺς νέους, ἧκε παρὰ τὸν δρακοντίδην καὶ χαρικλέα καὶ μηλόβιον, καὶ τοὺς ἄλλους, καὶ παράδειγμα βίου καλλίστου, τούτους ἐκέλευσεν ἡγεῖσθαι. καὶ τῶν μὲν ἐδεήθη μεταπέμπεσθαι τοὺς νεανίσκους. τοῖς δ' παρήνεσεν εἰς ἐκείνους βλέπειν, καὶ σκοπεῖν, ὅπως διαδέξωνται τὴν τυραννίδα· τοῦτον ἂν [18] ἐπιδείξῃ τήμερον ἄνυτος, δίκαιός ἐστι κατήγορος. κήδεται τῆς πόλεως, εἰ καὶ βραδέως. εἰ δ' ἀπὸ μὲν καιρῶν ἱκανῶν δεῖξαι φύσιν τυραννικὴν, οὐκ ἂν δύναιτο τὸν ἄνθρωπον ἐλέγχειν· αἰτίως δὲ συναγαγὼν οὐκ οὔσας, παροξύνει [19] τοὺς ὀμωμοκότας, μὴ λανθανέτω μετὰ σωκράτους ἀδικῶν, οὓς ἐπιορκεῖν ἀναγκάζεται. τί οὖν ἐστὶ δι' ὃ γράψασθαι τετόλμηκε, καὶ οὕτως τεθαῤῥηκότως, τηλικαύτην αἰτίαν ἐπήνεγκεν; Ἡσιόδου, φησὶν, ἔπη [20], καὶ θεόγνιδος, καὶ ὁμήρου, καὶ τῶν πινδάρου μελῶν [21]. τοὺς δὲ ποιητὰς τούτους, καὶ δόξης καὶ τιμῶν τετυχηκέναι παρά τε τοῖς ἄλλοις καὶ ἡμῖν φησι· τούτων τῶν ἀνδρῶν ἐπιλαμβάνεται, τῶν εἰρημένων [22] οὐκ ὀλίγα δείκνυσι πονηρῶς ἔχοντα. πρᾶγμα ποιῶν, ἄνυτε, πολλῆς ἐξουσίας, καὶ ἐμοὶ [23], καὶ σοὶ, καὶ τοῖς πολίταις ἅπασι, καὶ ταῖς ξένοις, καὶ νέοις, καὶ πρεσβυτέροις· καὶ τῷ βουλομένῳ δέδοται παρὰ τῶν νόμων κατὰ τὸ παριστάμενον μνησθῆναι τῶν ποιητῶν. ὁ μὲν ἐπῄνεσεν ὁ δὲ οὐκ ἠβουλήθη. κρίνεται δὲ οὐδέτερος, οὐδ' εἰ τῆς ἀληθείας ἑκάτερος ἀποτυγχάνει. ὥσπερ γὰρ τὸ ἄγαλμα θεωμένοις ἔξεστι, τοῖς μὲν θαυμάσαι, τοῖς δὲ οὔ καὶ μέμψασθαι

[17] ὁ τυραννοδιδάσκαλος] ſcil. ἐποίει διδάσκων τοὺς νέους τὰς τῆς τυραννίδος τέχνας.

[18] τοῦτον] malim τοιοῦτον. ſcil. Socratem.

[19] malim παροξύνειε (in optatiuo).

[20] ἔπη] niſi quid hic deeſt, refertur hic nominatiuus ad ἐστὶ τοῦτο, δι' ὃ ἐτόλμησεν Ἄνυτος γράψασθαι Σωκράτην.

[21] poſt μελῶν videtur ἐστὶν ἃ deeſſe.

[22] probo Morelli coniecturam. ſed et ὑπ' αὐτῶν deeſt, aut αὐτοῖς. vt ſit καὶ τῶν αὐτοῖς εἰρημένων.

[23] l. καὶ γὰρ ἐμοὶ et 13. ἀποτυγχάνῃ in coniunctiuo.

θαί τι τῶν μερῶν. εἰ δὲ βούλοιτό τις καὶ τὸ πᾶν. οὕτω καὶ ἐπὶ τῶν ποιημάτων, καὶ τῶν καταλογάδην συγγραμμάτων· οἱ μὲν τὴν ἀμείνω ψῆφον, οἱ δὲ τὴν ἑτέραν φέρουσι. καὶ νὴ δία γε τὸν αὐτὸν εὕρης, ἃ τήμερον ᾠήθη χρηστὰ, μετὰ ταῦτα ὕστερον ἄλλης ἀξιοῦντα δόξης. τὸ γὰρ πολλάκις ἐξετασθὲν μᾶλλον ἔδειξε τῷ βασανίζοντι τὴν φύσιν. κἂν ἄγῃ τις εἰς δικαστήριον δώσοντα δίκην τὸν ἃ πρὶν ἐπῄνεσε ψέγοντα, γέλωτος[24] ἂν εἴη. ἀλλὰ πῶς δεῖ ποιεῖν βοηθεῖν λόγῳ τοῖς ἐγκαλουμένοις ἐπ' αὐτῆς τῆς περὶ τῶν ἐπῶν[25] φιλοτιμίας, καὶ τὸν ἐπιτιμῶντα μωραίνοντα ἐλέγχειν· αὕτη γὰρ ἱκανὴ τοῖς φιλοσοφοῦσι δίκη. τὸ δὲ κρίνειν, καὶ τίμημα ἐπάγειν θάνατον, ἐπ' ἄλλοις τέτακται. γένοιτο[26] δὲ ἂν ἐκείνως μᾶλλον τὴν ἀτοπίαν· ἠγωνίσατό ποτε ὁμήρῳ ἡσίοδος· καὶ τοῦτο αὐτὸς ἡσίοδος ἐν ἐπιγράμματι διδάσκει· φιλοτιμούμενος καὶ λέγων νενικηκέναι τὸν ὅμηρον. οὐκ οὖν εἰ μὲν ἁπάσαις ἡσίοδος ἐνίκα, πάντες δήπου λῆρεῖν ἡγοῖντο τὸν ὅμηρον. εἰ δ' οἱ μὲν τοῦτον ἡγοῦντο βελτίω, παρὰ δὲ τοῖς πλείοσιν εὐδοκιμεῖ[27] τὰ τοῦ ἡσιόδου, τῶν οὐκ ἐπαινούντων ἑκάτερος ἐτετυχήκει[28]· καὶ δῆλον ὡς τοῦ συλλόγου διαλυθέντος, οἱ μὲν τούτῳ[29] θέμενοι, τὸν ἡσίοδον ἐκάκιζον· οἱ δὲ ἐκείνῳ[30], τοῦτον. αὐτοῖς γὰρ οὕτω γε ἐβοήθουν ἄν. εἶπεν οὖν τίς τῶν τὰς ἱστορίας συντεθεικότων, ὅτι δίκην τὶς ἔδωκεν ἐν χαλκίδι διὰ τὸν ἡσιόδου ψόγον, ἢ τὸν ὁμήρου; οὐδείς. πῶς οὖν οὐ δεινὸν, τοῖς μὲν πάλαι τῶν ποιητῶν αὐτῶν λεγόντων ἀκηκοότων ἐξεῖναί τι καὶ ἐπιτιμῆσαι· τῶν δ' ὕστερον τοὺς οὐ χρηστὸν[31] παρ' ἐκείνοις ὁρῶντας, ἢ σιγᾶν ἢ ἀπολωλέναι· σοφοκλῆς δὲ,

[24] aut γέλως leg. quod vocabulum Demosth. vsurpat pro *re ridicula*, aut addendum est ἄξιος vt sit γέλωτος ἂν εἴη ἄξιος.

[25] f. ἀπ' αὐτῆς τῆς περὶ τὰ ἔπη φ.

[26] γένοιτο] f. γνοίητε cognoscatis.

[27] εὐδοκίμει in imperfecto.

[28] f. ἀπετετυχήκει caruisset, excidisset suffragio eorum, a quibus laudatus non fuisset.

[29] τούτῳ] qui cum Homero facerent.

[30] ἐκείνῳ] qui Hesiodo studerent. τοῦτον Homerum sine aspernaturi et reprehensuri.

[31] post χρηστὸν deest τι.

δὲ, ὦ πρὸς διὸς, καὶ εὐριπίδης καὶ αἴσχυλος, ἆρά σοι δοκȣ͂σι, ȣ̓κ ἂν εἰκότως ἐν σοφοῖς ἀριθμεῖσθαι· καὶ τίς [32] ȣ̓κ συνεύξαιτο τοῖς αὐτȣ͂ παισὶ τῷ φανῆναι τοῖς ἕλλησιν ἐν διονυσίοις; ȣ̓δεὶς ȣ͂ν τῶν τεθεαμένων ἀπελθὼν, ἐπελάβετο τὸν ἰαμβείων· οἱ δὲ καὶ λεγομένων [33] ἔτι μύριοι. καὶ μέλλει [34] γε αὐτοῖς ȣ̓δὲν, εἰ δήξονται τȣ̀ς ποιητάς· ἡ δέ γε κωμῳδία τὸ πλεῖστον τῆς ἡδονῆς ἐκ τȣ͂ κακῶς λέγειν τὰς τραγωδίας εἰσφέρεται. εἶτ᾽ ἂν μὲν ἀθηναίων τȣ̀ς δοκȣ͂ντας παιδείᾳ διαφέρειν φῇ τις ἐν οἷς ποιȣ͂σιν ἁμαρτάνειν, ἀνεύθυνος ἂν δ᾽ ἀθηναίων τις πρὸς τȣ̀ς πρεσβυτέρȣς ταυτὸ τȣ͂το ποιῇ, κριθήσεται; καὶ σωκράτην μὲν ἐξῆν ἀριστοφάνη [35] κομῳδεῖν· καὶ πᾶς ὁ μετὰ ταῦτα χρόνος ἕξει τὰ σκώμματα. γέγραπται δὲ [36] καὶ ὁ τὸ πρᾶγμα ἐξαλείφων ȣ̓κ ἔσται· σωκράτει δὲ ȣ̓ δώσομεν ἐλέγχειν ὅμηρον ἢ τινὰ ποιητὴν ἕτερον, καὶ ταῦτα ȣ̓ φυλαττομένων βιβλίῳ καὶ γραφῇ τῶν ἐλέγχων; εἰ γὰρ ἐκεῖνα νόμῳ διονυσίων γεγένηται· καὶ ταῦτα κοινῷ νόμῳ τῶν ἀνθρώπων εἴρηται, καθ᾽ ὃν ποιητῶν καὶ λογογράφων δοκιμαστὴς ἔστι τῶν ἐντυγχανόντων ἕκαστος, ȣ̔́τως ἐπιλαμβάνεται πινδάρȣ σωκράτης, ὡς σὺ σωκράτȣς· μᾶλλον δὲ ȣ̓χ᾽ ȣ̔́τω· ὁ μὲν γὰρ δικαίως. σὺ δὲ ἀδίκως· καὶ ὁ μὲν βλάπτοντος· σὺ δὲ ὠφελȣ͂ντος. ἀλλά τό γε τῆς

αὐτῆς

[32] f. καὶ τίς ȣ̓κ ἂν συνεύξαιτο τοῖς αὐτȣ͂ παισὶν ȣ̔́τω σοφȣ̀ς φανῆναι; ecquis vero non congratuletur ſuis liberis, (h. e. precibus et votis contendat a diis hoc felicitatis impetrare) vt pariter, atque illi viſi fuerunt, ſapientes videantur Graecis.

[33] idem eſt ac ſi dixiſſet πάνυγε. καὶ λεγομένων ἔτι μυρίοι ἐπελαμβάνοντο. ergone nemo fuit, qui ſententias illorum poetarum, poſtquam a ſpectaculo diſceſſiſſet, ıeprehendiſſet? imo vero permulti fuerunt. quid quod innumeri ſtatim, cum adhuc in ſcena ab hiſtrionibus pronunciarentur, improbarent.

[34] μέλει (uno λ) nil curant, nil eorum intereſt.

[35] ἀριστοφάνει in datiuo, per dipb'hongum).

[36] δὲ] malim γάρ.

αὐτῆς ἐξουσίας[37]. πῶς οὖν οὐκ ἄνισον, αὐτὸν μὲν ἀξιοῦν ψέγειν τῶν πολιτῶν τοὺς λόγους· τῶν δὲ πολιτῶν μηδενὶ τὰ τῶν ἄλλων ἐπιτρέπειν εἰς ἐξέτασιν ἄγειν, ὥσπερ νόμῳ φύσεως ἠναγκασμένον τοὺς μὲν[38] ἐκ Βοιωτίας, ἢ οὐκ οἶδ' ὁπόθεν σοφίᾳ διαφέρειν· τοὺς δὲ τῆς ἀθηνᾶς τροφίμους ἀμαθίᾳ συνοικεῖν. καίτοι τοὐναντίον ἐδόκει τὸν ἔμπροσθεν χρόνον. σὺ δὲ οὐκ ἐᾶς· καὶ μὴν εἰ τὸ τῶν ἐπῶν κατηγορεῖν ἕν τι τῶν ἀδικημάτων, ἦν ἂν καὶ περὶ τούτου νόμος, ὥσπερ ἀμέλει καὶ περὶ τῶν ἄλλων ἀδικημάτων· οἷον ὁ μέντις λέγει, μὴ δωροδοκεῖν· ὁ δὲ, μὴ τύπτειν· ὁ δὲ, μὴ λωποδυτεῖν· καὶ τῶν ἄλλων ὅπως ἀπεχώμεθα γέγραπται τιμωρία καθ' ἕκαστον[39]. ἀλλ' οὐκ, ἐὰν ἐπιλαμβάνηταί τις τῶν παλαιῶν ποιητῶν, ἀποθνησκέτω· τῶν νόμων οὐδαμοῦ γέγραπται· ἀλλ' οὐδὲ ἐν τοῖς ψηφίσμασιν ἐν οἷς ἐτιμῶντο, ταύτην ἔλαβον τὴν δωρεάν· εὐφημεῖν δὲ πάντας ἀθηναίους, περὶ τῶν ἐκείνοις γεγραμμένων ἁπάντων. τί τοίνυν ὁ κρινόμενος παραβὰς ἠδίκηκεν, εἰ μήτε ἐν νόμῳ κεκώλυται δεικνύναι τι τῶν ἡσιόδου βλαβερὸν, μήτε ψήφισμα θάνατον ἀπειλεῖ τῷ μή γε[40]. πανταχῇ τὰ βέλτιστα τὸν πίνδαρον εἰρηκέναι λέγοντι. καίτοι τὼ δύω τούτω ποιητὰ, τόν τε ἡσίοδον καὶ τὸν ὅμηρον λέγω, πρεσβυτέρους εἶναι συμβαίνει τοῦ σόλωνος. εἰ γ' οὖν ἡγεῖτο δεινὸν ὁ σόλων εἶναί τινα κατὰ τῶν ἐπῶν ἐξουσίαν τῷ βουλομένῳ πάντως ἂν ἔθηκε νόμον, εἴργοντ' ἀθηναίους τοῦ βασάνου τῶν ἐπῶν· εἰ δὲ μὴ

σόλων

[37] aut ἀλλὰ τό γε ἔργον τῆς αὐτῆς ἐξουσίας res ipsa tamen (h. e. reprehensio, notatio) perinde vtrique est licita. aut τό γε τῆς ἐξουσίας ταὐτὸ, licentia certe in vtroque est eadem.

[38] οὖν post μὲν deleui quasi a natura rerum ita sit constitutum et irreuocabili necessitate obstrictum, vt e Boeotia quidem, aut nescio vnde oriundi ceteris hominibus sapientia praestent --

[39] aut καθ' ἑκάστου in singul. de vno quoque, aut καθ' ἑκάστων de singulis quibusque.

[40] pro μή τε dedi μή γε. non profecto. mortem minatur, si quis Pindarum affirmet, si quando multa bene dixerit, non certe semper tamen et vtique locorum recte sensisse atque dixisse.

σόλων, ἕτερος ἄν. ὥστε[41] τῶν ὀνομάτων ἁρμοδίου καὶ ἀριστογείτονος ἔδοξεν ἡμῖν μηδένα δοῦλον τοῖς τύραννον καθελοῦσι ποιεῖν ὁμώνυμον· καὶ πειθόμεθα. πῶς οὖν τῆς αὐτῆς προνοίας, οὐκ ἠξίωται τὰ ἔπη· ὅτι τὸ μὲν ὕβριν ἂν εἶχε κατὰ τῶν εὐεργετῶν διὰ τῶν οἰκετῶν. τὸ δὲ τὰ τῶν τυράννων ἐδίδου τοῖς ποιηταῖς· οὓς τοὺς ἀρχομένους ἐπαινεῖν ἀνάγκη, κἂν ὑπερβάλλωσι πάντας ἀνοίᾳ καὶ κακίᾳ σωκράτης δὲ ὅμηρον οὐκ ᾔδει τύραννον ἀθηνῶν· οὐδὲ θεόγνιν· οὐδέ γε τυραννοῦντος ἑώρα[42], κολακεύειν ὑπέμεινεν· ἀλλ' εἰ πρὸς τὸ τῆς πόλεως ἄρχειν ἐπῆ[43], καὶ τυραννούμενος ἂν ἐξήταζε τὰ ποιήματα· καθάπερ τῶν τριάκοντα τὰ ἔργα· σὺ δ' ἐν δημοκρατίᾳ καὶ παῤῥησίᾳ παλαιοὺς ποιητὰς ἐφίστης τοῖς περὶ τοὺς λόγους διατρίβουσι δεσπότας· καὶ τὰ στόματα τοῖς δεξιωτέροις ἐμφράττεις· καὶ σιγὴν ἀθήνησι εἰσηγῇ· καὶ πεισίστρατος μὲν ὁ μάλιστα σπουδάσας περὶ τὴν ὁμήρου ποίησιν, οὐδένα τῶν πώποτε ἀπέκτεινε λαβὼν, ἔπους ἐπιλαμβανόμενον· εἰκὸς δὲ πολλὰ τοιαῦτα γεγονέναι[44] τῶν ὁμήρου συλλεγομένων[45]. σὺ δ' ἐν δημοκρατίᾳ ποιεῖς τυραννίδος χαλεπώτερα· καὶ ταῦτα ἐπαινῶν τὸν θησέα τοῦ τῆς ἀρχῆς ἧς εἶχεν ἀποστῆναι· ὃς οὐ διὰ τοῦτο τὴν ἐλευθερίαν τοῦ δήμου πρὸ τῆς ἐξουσίας ἐποιήσατο τῆς αὐτοῦ, ἵνα ἄνυτος καὶ μέλιτος κωλύωσι διαλέγεσθαι τὸν βουλόμενον ἀθήνησιν· ἀλλ' ἵνα παντὸς ἀπηλλαγμένοι δέους, καὶ τὰς ψυχὰς ἀσκῶμεν μαθήμασι. καὶ τὰ σώματα γυμνασίοις· καὶ διὰ τοῦτο καλὸν καὶ ἥδιστον αἱ ἀθῆναι θέαμα· καὶ πανταχόθεν

[41] ὥστε] malim ὡς περὶ duobus vocabulis, vt ſuper nominibus Harm. et Ar. placuit nobis ita ſtatuere, vt haud liceat ſeruorum quemquam eodem nomine appellare, quo illi depulſores tyrannidis appellat fuerunt.

[42] f. οὐδέ γ' εἰ τυραννοῦντας ἑώρα.

[43] ἐπῆ] f. ἐπεχείρει num illa carmina ad inuadendum reip. principatum inflamment.

[44] πολλὰ τοιαῦτα γεγονέναι] ſcil. vt eſſent multi, qui Homeri locos permultos notarent.

[45] f. τῶν ὁμήρου ἁπανταχόθεν συλλεγομένων cum Homeri reliquiae vndecunque colligerentur.

θεν δεῦρο φοιτῶσι καὶ ναυσὶ καὶ πεζῇ· καὶ οἱ μὲν κατέμειναν· οἱ δὲ μόλις ἀπῆλθον οὐχ ὅτι τραπέζαις νικῶμεν σύβαριν· οὐδὲ ὅτι πυρῶν ἡμῖν εὔφορος ἡ γῆ· τοὐναντίον γὰρ ὦ ἄνδρες ἀθηναῖοι, τοῖς ἔξω τικτομένοις τρεφόμεθα· ἀλλ᾽ ὅτι λόγων ἐστὶν ἐργαστήριον ἡ πόλις· ὁ μὲν ἤρετο· ὁ δὲ ἀπεκρίνατο. τῷ μὲν ὑπῆρξε μαθεῖν· ὁ δὲ ἐδίδαξε· τὸν μὲν ἴδοις ἂν ἐπαινοῦντά τι, τῶν τοῖς ἔμπροσθεν εἰρημένων· τὸν δὲ αἰτιώμενον· τὸν δὲ δόξαν οὐ καλὴν λύοντα. ταῦτα ἄξια τῆς ἐν ἀκροπόλει θεοῦ. ταῦτα τῶν ὑπὸ θεῶν πεπαιδευμένων· ταῦτα τοῦ θησέως· ταῦτα τῆς πολιτείας· ταῦτα ποιεῖ τὴν πόλιν χαριεστέραν τῆς λακεδαίμονος· διὰ τοῦτο τῶν φοβερῶν ἐν τοῖς ὅπλοις, οἱ τὴν σοφίαν τιμῶντες σεμνότεροι· τοῦτο πολὺ τὸ μέσον ἡμῖν πρὸς τοὺς βαρβάρους πεποίηκεν· ὁ τοίνυν τὴν ἐν τῷ διαλέγεσθαι παῤῥησίαν ἀναιρῶν, οὗτός ἐστιν ὁ τὰ τῆς δημοκρατίας καταλύων ἐπιχώρια· καὶ καθάπερ σώματος ἐξορύττων ὀφθαλμοὺς, ἢ γλῶτταν ἀποτέμνων· ὃν ἔγωγε ἡδέως ἂν ἐροίμην. εἰ καὶ τῶν δείπνων ἐξαιρεῖ τοὺς εἰωθότας λόγους· οὗτοι δέ εἰσι μνησθῆναι ποιητῶν [46]. τοῦ μὲν ὡς εὖ λεχθέντος ᾆσαι· τὸ δέ τι καὶ ἐπανορθῶσαι· εἰ μὲν οὖν κἀνταῦθα σιωπᾷν νομοθετεῖ, κελεύων ἀφώνους ἐσθίειν καὶ πίνειν, ἀνδραποδώδη ποιεῖ τὰ συμπόσια τῶν ἐλευθέρων· τῇ γαστρὶ μετρεῖν ἀναγκάζων τὰς συνουσίας. καὶ τίς ἂν ἔλθῃ κληθεὶς ἐπὶ δεῖπνον. οὐ μέλλων εὑρήσειν τὴν χρησιμωτέραν ἡδονήν· εἰ δ᾽ ἐκεῖ μὲν οὐκ ἀφαιρεῖται τὴν περὶ ταῦτα ἐξουσίαν, τὰς παλαίστρας δὲ τῶν λόγων ἀποστερεῖ· μᾶλλον δὲ εἰ τοῖς μὲν ἄλλοις πανταχοῦ δίδωσι λέγειν· σωκράτει δὲ οὐδαμοῦ, πεισάτω τοὺς δικάζοντας ὑμᾶς εἰ [47] τὸ ἄνισον τούτῳ, τῶν δικαίων ἐστί.

καὶ

[46] hic deest aliquid. f. sic leg. ποιητῶν τοῦ μὲν, ὡς εὖ λεχθέντος, ἐπιτηδεία ᾆσαι, τὸ δ᾽ ἔτι καὶ δέον ἐπανορθῶσαι commemorare locos poetarum, alios quidem, vt bene ornatos eoque dignos cantu recitari; alios autem, vt correctionem adhuc desiderantes.

[47] εἰ] hic loci idem valet atque ὅτι, vt saepe. τούτῳ] imo vero τοῦτο. idem est τοῦτο τὸ ἄνισον

καὶ τί δεῖ λέγειν τὰς ποιητάς; ἀλλὰ τοῦ διὸς οὐχ ὕοντος, καὶ πάλιν [48] ἔξω τοῦ μετρίου βοῶμεν ὡς ἀδικούμενοι. καὶ τί ποιῶν δίκαιος ἂν ἦν περὶ τὴν γῆν λέγομεν; καὶ ταύτας τὰς κατηγορίας οὐκ ἠγνόει θέογνις ὅτι [49] μεγαρεύς· εἶτ᾽ ἐνιαυτοῦ μὲν καὶ ὡρῶν καὶ αὐτοῦ γε τοῦ διὸς ἐπιλαμβανόμεθα· καὶ οὐδεὶς ἐπιφέρει γραφήν. ἂν δέ τις ὅτι τὸν πίνδαρον ἐξεφύγετε [50] τῶν σεσιγῆσθαι βελτιόνων, εἴπῃ πρὸς νέους ἢ πρεσβυτέρους, τοῦτον εὐθὺς ἐπὶ κώνειον ἄγεσθαι δίκαιον· ὁ μὴ καταψηφιζόμενος ἀπολλύει τὴν πόλιν. καὶ τίς ἂν εὔφρων [51] ὢν φήσειε· καὶ γὰρ εἰ σφόδρα παρὰ τῶν προγόνων τῶν ἡμετέρων τετίμηται, μισθὸς τοῦτό γε τῶν εἰς τὴν πόλιν ἐπαίνων, βραχέων δὴ τινῶν ὄντων, οὐ τῷ [52] πάντα τοῖς ποιηταῖς ὑγιῶς εἰρῆσθαι τεκμήριον· ἀλλ᾽ ὅτι ὁ μὲν μενεσθέως, ὡς δεινοῦ τάττειν στρατιώτας ἐμνήσθη· τόδε [53] ὅτι τῆς ἑλλάδος ἡ πόλις ἔρεισμα προσερῤῥήθη, λόγους ἔργοις ἀμειβόμενος [54]· καὶ διὰ τὴν ἔμφυτον μεγαλοψυχίαν, ὧν ἐν ταῖς πράξεσι τὴν μαρτυρίαν εἶχον, τούτων τοῖς ἐπαινοῦσιν ἀξιοῦντες εἰδέναι χάριν, ἐκόσμουν ἐν τῷ μέρει, καὶ αὐτοὶ [55] τοὺς ποιητὰς οὐ δούλην ποιοῦντες τὴν πόλιν· οὐδ᾽ ὁμολογοῦντες πρὸς αὐτοὺς, ὡς ἂν ὕστερον σωκράτης μὴ ἀντεπαινῇ, κἀκεῖνον [56] ἀποθανῆται. κωλύει δ᾽ οὐδὲν, ὦ ἀθηναῖοι, τοὺς αὐτοὺς καὶ τὰ ὄντα περὶ τῆς πόλεως ὑμνηκέναι, καὶ συμ-

βούλους

ἄνισον atque αὕτη ἡ ἀνισότης. haec iniquitas.

[48] καὶ πάλιν] ſcil. ὕοντος.

[49] θέογνις ὁ μεγαρεύς.

[50] ἐξεφύγετε] imo vero duobus vocabulis ἐξέφυγέ τι effugit aliquid. h. e. imprudenti et inuito excidit, quod taceri ſatius fuiſſet.

[51] malim εὖ φρονῶν.

[52] τῷ] poterat quoque τοῦ dicere. ſed perinde eſt.

[53] τόδε] imo vero τῷ δὲ duobus vocabulis et in datiuo. τῷ δὲ idem eſt atque ὑπὸ δὲ τοῦ *ab altero vero*, Pindaro puta, *quod appellatae fuiſſent Athenae* ἔρεισμα ἑλλάδος.

[54] ἀμειβόμενοι in nominat. plur. ſcil. οἱ πρόγονοι. cohaeret hic nominatiuus cum ἐκόσμουν. verſu vltimo.

[55] αὐτοὶ] ſic dedi. ornabant et ipſi poetas viciſſim. αὐτὸς Mor.

[56] f. κἀκεῖνος (in nominat.) ἀνταποθανεῖται (in indicat. futuri I.)

βούλους οὐ πάντας [57] ἀγαθοὺς γεγονέναι· ὁ αὐτὸς τοίνυν ἐστί μοι λόγος καὶ περὶ τοῦ μέμφεσθαι, φησιν [58], αὐτὸν τῶν ἐθῶν τισὶ τῶν παρ' ὑμῖν. εἰ μὲν γὰρ ὅτι [59] σωκράτης κατὰ τῆς πολιτείας διεξέρχεται λόγους, καὶ πείθει λυσιτελεστέραν εἶναι τὴν ἀντὶ τῶν νόμων ἑνὸς ἄφρονος βουλήσει διοικουμένην [60], ἐν ᾗ δορυφόρων ἀσέλγεια, καὶ περὶ γάμους ὕβρις, καὶ χρημάτων ἁρπαγαί, καὶ παρθένοι παροινούμενοι, καὶ παῖδες ἀδικούμενοι, καὶ φυγαί, καὶ φόνοι, καὶ οἰμωγαί, καὶ συνέχεια δακρύων. εἰ τούτων ἐρᾷ, καὶ ταῦτα παιδεύει. θαυμάζω εἰ πολὺν ὦ ἄνδρες βεβίωκε χρόνον, πάλαι θάνατον ὀφείλων ἀθηναίοις· εἰ δὲ [61] δημοκρατεῖσθαι μὲν ὑμᾶς βούλοιτ' ἄν· ἐστι δὲ α τῶν ἐθῶν οὐ καλῶς ἔχειν ἡγεῖται, καὶ λέγει [62], καὶ τὰς δημοκρατίας, ἄνδρες ἀθηναῖοι, καὶ τούτους νόμους μοι. τίς γὰρ ὑμῶν οὐκ οἶδεν, ὡς τοὺς βλάπτοντας νόμους λύειν, ἐξ αὐτῶν ἐστι δεδομένον τῶν νόμων; ὁ μὲν γὰρ θεὶς ἡγησάμενος συμφέρειν, ἔγραψεν· ὁ δ' εὑρὼν οὐ τοιοῦτον, ἔλυσεν, αὐτοῦ καλοῦντος ἐφ' ἑαυτὸν τοῦ νόμου. εἰ γὰρ μὴ λυσιτελῶ [63] χρωμένοις ἐφ' ὧνπερ ἐγράφην, μηδὲ τοῖς ἔργοις βεβαιῶ τὴν ὑπόσχεσιν, κίνει τὰ γράμματα, κατηγόρει μηδὲν ὑποστελλόμενος. καὶ ταύτην τὴν ἴασιν τῇ πολιτείᾳ προσάγοντες, οὐδὲ [64] διαλελοίπαμεν, ὦ θεοί, χρόνον, νέους ἀντὶ τῶν παλαιῶν τιθέμενοι νόμους. ἐντεῦθεν, τὸν μὲν

[57] malim οὐ πάντως.

[58] f. ὥς φησιν. eadem mihi eſt ratio defenſionis etiam in illo articulo, quod Socrates, ſi Anyto credimus affirmanti, nonnulla veſtrorum rituum atque morum notare ſit ſolitus.

[59] ὅτι aut plane delendum, aut cum ὁ articulo mutandum eſt.

[60] παροινούμεναι (in foemin.)

[61] εἰ δὲ —) apodoſis habetur p. 659. 7. et ſimul reſtauratio coeptae orationis in illis εἰ περὶ ὧν —

[62] hic deſunt nonnulla.

[63] εἰ γὰρ μὴ λυσιτελῶ] haec eſt proſopopoeia legis per fictionem oratoriam vocalis factae. τοῖς χρωμένοις (non ſine articulo) ἐφ' ὧνπερ id eſt ἐπὶ τούτων, δι' ἃ ἐγράφην illis in rebus, quarum cauſa ſcripta ſum.

[64] malim οὐδένα. cohaeret enim cum χρόνον.

μὲν ἀνείλομεν· τὸν δὲ ἐγράψαμεν. καὶ τὸ πρεσβύτερον ὑπεχώρησε τῷ κρείττονι. πόσους δράκοντος· πόσους δράκοντος· πόσους σόλωνος· πόσους λελύκαμεν κλεισθένους; τὸ γὰρ χρησιμώτερον ἀντὶ τοῦ φαυλοτέρου κρατεῖ, καὶ τὴν ἐκείνου χώραν λαβὼν, ἀντ' ἐκείνου καθίσταται κύριον. εἶπον[65] δ' ἂν ὑμῖν κἀπηριθμησάμην, τούς τε κατεγνωσμένους. καὶ τοὺς ἀντ' ἐκείνων γραφέντας. εἰ μὴ μαρτύριον ἦν ἱκανὸν, ἡ ἐξ ἀρείου πάγου βουλὴ, οὐχ ἅπαντα νῦν ἅπερ πρότερον ἔχουσα, καὶ οὐδὲν ἀντιλέγει· νομίζουσα δεῖν εἴκειν τοῖς νεωτέροις νόμοις, οὖσί γε ἀμείνοσιν. εἰ περὶ ὧν ἔξεστιν εἰπεῖν ἐν τῷ δήμῳ· καὶ καθ' ὧν ὑπέρχει δικαστηρίῳ χρήσασθαι κατηγοροῦντα, τὰς ψήφους γ'[66] ἔνι λαβεῖν· εἰ τούτων[67] μνησθείη τις ἐπὶ τῶν ἐργαστηρίων, ἠκριβῶσθαι τὴν πολιτείαν εὐχόμενος, οὗτος ἄχθεται τῷ τὸν δῆμον κρατεῖν. εἰ μὲν οὖν ὦ ἄνδρες, τὸ μὲν ἐξὸν πεποιῆσθαι τοὺς λόγους τοιούτους[68], τῶν λόγων ὑπῆρχε σωκράτει· βλάβη δέ τις φαίνοιτο διὰ τῆς ἐξουσίας μέρος ἤδη τινὰς ἠγωνισμένους σέσωκεν. ἀλλ' οὐ σωκράτει γε ἡ τοιαύτη πρέπουσα σωτηρία. πῶς οὖν ἀπολογεῖσθαι καλὸν ὑπὲρ ἀνδρὸς, ὡς ἐμαυτὸν πείθω φιλοῦντος τὴν πόλιν. σωκράτης, ἐρῶ δὲ τἀληθὲς, νὴ τὸν ἀπόλλω τὸν πύθιον, πολλαχοῦ μὲν μέμνηται τῶν ποιητῶν, οὐκ ἀεί γε[69] μετὰ ψόγου. ἀλλ' οὓς μὲν πείθουσι τὸν ἀκούοντα βελτίω, καὶ σοφοὺς, καὶ γενναίους, καὶ θείους, καὶ τὰ τοιαῦτα καλεῖ· ζημιοῦντας δὲ ὅταν ἴδῃ, καὶ τὸν πειθόμενον εἰς μέγιστον ἄγοντας κακὸν, ἐναντιοῦται καὶ δείκνυσι τὸν κρημνόν· οὐκ ἐῶν νέων ψυχὰς εἰς ὄλεθρον ἐμπεσούσας φέρεσθαι· ἐν δὲ τοῖς ἐλέγχοις τούτοις, ἔρχεταί τινα καὶ τοιαύτην ὁδὸν, ἣν ἁρπάσας ἄνυτος συκοφαντεῖ. ἐρωτᾷ τὸν συνόντα.

εἰ

65 εἶπον] loquitur nempe Socrates, cui coepta est versu 25. haec oratio tribui.

66 γ'] malim τ'.

67 εἰ τούτων] est resumtio vel restauratio orationis in illis versu 7. coeptae εἰ περὶ ὧν.

68 scabra rursus et hiulca haec est oratio.

69 γε] lege δέ.

εἰ μὴ σοφὸς ἡσίοδος; ἀνάγκη τὸν ὑπὸ τῆς φήμης κατειλημμένον ὁμολογεῖν. τί δ' οὐχ οὗτος ἔργον πᾶν ἐπαινεῖ, φάσκων [70] οὐδὲν ἔργον ὄνειδος εἶναι; τοῦτο [71] δεύτερον ἐρομένου σωκράτους· οὐκ ἔστι γὰρ ἄρνησις· οὐκοῦν ὁ τοῖχον διορύττων, καὶ τάφον, ἔχει μάρτυρα σοφὸν ἄνδρα τὸν ἡσίοδον τοῦ μηδὲν ἀδικεῖν. ἐνταῦθα ἀνάγκη, τὸν μὲν ἐρωτώμενον ἀπορεῖν, τοὺς δὲ παρόντας γελᾶν· οὐδένα [72] ἀπὸ τῶν λόγων ἐπὶ τὰ πονηρὰ κέρδη τρέχειν· ἀλλὰ πρὸς τοὐναντίον. ἐξεληλεγμένου γὰρ τοῦ ποιητοῦ, καὶ γέλωτα ὀφείλοντος, ἴσασιν ὡς οὐ πᾶσιν ἐγχειρητέον ἔργοις ἑξῆς· οὕτω καὶ πινδάρῳ διαλέγεται· δεδοικὼς αὐτοῦ [73] τὴν διδαχὴν. καὶ φοβούμενος μή τις τῶν νέων ἀκούσας, ὡς

ὑπερτάτη χειρὶ βιάζεται τὸ δίκαιον.

ἀμελήσας τῶν νόμων ἀσκεῖ [74] τὼ χεῖρε. καὶ τοῦτο εἰκότως ὑφορᾶται σωκράτης, ὡς ὁ σοφώτατος ἄνυτος ἐτόλμησε μεταγράψαι τὸ τοῦ ποιητοῦ· καθάπερ ἐν σκύθαις διαλεγομένου, καὶ οὐκ εἰσομένοις ἀνθρώποις, τί μὲν ἀνύτου, τί δὲ πινδάρου; ἀλλὰ τοῦτο καλῶς ἐποίησε κακουργῶν. ἐν γὰρ τῷ μεταθεῖναι τὸ τοῦ ποιητοῦ, κατηγόρηκε τοῦ πινδάρου, καὶ τὸν σωκράτην ἐπῄνεσεν. ἔτι τοίνυν σκέψασθε πότερον ὀρθῶς θέογνις φρονεῖ, νομίζων πάντα δεῖν ποιεῖν ὑπὲρ χρημάτων, ὡς τῆς πενίας σιγᾶν ἀναγκαζούσης. ἢ οὗτος οἰόμενος τὸν ἐν πενίᾳ πολλάκις ἂν τῶν εὐπορούντων ἄμεινον εἰπεῖν δύνασθαι. καὶ ἤρκει μὲν αὐτὰ τὰ παρὰ τοῦ διώκοντος εἰς τὴν ἀπολογίαν [75] ἡμῶν. ὁ λαμπρὸς, ὁ φειδίας, ὁ μὲν ἐν τῷ περὶ τῶν ἀγαλμάτων λόγῳ νικῶν ἀνισόμαχον· ὁ δ' ἱππόνικον ἐν τῷ περὶ μουσικῆς. εἰ δὲ δεῖ τι προσθεῖναι· τίς οὐκ εἶδεν ὡς ἐν ταῖς ἐκκλησίαις, πολλοὶ μὲν τῶν τὰς οὐσίας κεκτημένων ἀποροῦντες γνώμης ἄφωνοι

[70] φάσκων] ſic dedi. φάσκον Mor.

[71] f. ὁμολογεῖ καὶ τοῦτο —.

[72] οὐδένα ἀπὸ] interpone δ'.

[73] f. δεδοικὼς γὰρ αὐτοῦ.

[74] ἀσκῇ in coniunctiuo.

[75] f. ἀπολογίαν, τῇ μὲν Ὄλυμπος, τῇ δὲ φειδίας, ὁ μὲν ἐν τῷ π. τ. ἀ. λ. ν. Λυσίμαχον, ſufficere poſſent ad defenſionem, cum Olympus, tum Phidias; hic quidem — ille vero —

νοι κάθηνται· πολλοὶ δὲ τῶν καταδέων[76], ἃ συνείσει λέγουσι· πάλιν τοίνυν ἀφ' ἑκατέρων γνωμῶν λεγομένων, οἷς τε μεγάλοι πλοῦτοι, καὶ παρ' οἷς μικρὸν ἀργύριον· οἱ μὲν ἔδοξαν οὐκ εὖ φρονεῖν· οἱ δὲ τὰ ἄριστα παραινεῖν. ὀρθῶς οὖν ὑπολαμβάνει σωκράτης, τῶν πεπαιδευμένων· ἀλλ' οὐ τῶν εὐπορούντων, τὸ δύνασθαι λέγειν ἡγέμενος. καὶ μὴν ἀθηναίων γε πλουτοῦσι μὲν οἱ πολλοὶ[77], συχνοὶ δὲ οἱ πενόμενοι. κατὰ μὲν οὖν σωκράτην ἐστὶν ὑμῶν τοῖς πολλοῖς λέγειν. κατὰ δὲ θέογνιν, ἄτιμον τοῦ δήμου τὸ πλέον, πότερος ἂν[78] βελτίων, ὦ θεοὶ, σύμβουλος καὶ πόλει καὶ ἰδιώταις· ὅστις ἐκμαίνει περὶ χρημάτων ἐπιθυμίας, καὶ πείθει καλοὺς ἡγεῖσθαι τοὺς ὑπὲρ τούτων, καὶ πόνους, καὶ κινδύνους, καὶ τολμήματα, καὶ θανάτους· ἢ ὅστις ἐπὶ τὴν φρόνησιν μᾶλλον, ἢ τὸν πλοῦτον παρακαλεῖ· τοῦτο τοίνυν παρ' ὑμῶν, καὶ τοῦ τῆς πόλεως ἤθους ἐπαιδεύετο σωκράτης, καὶ ἢ μεθ' ὑμῶν ἡμαρτάνεν, ἢ μεθ' ὑμῶν ἀφεῖται τῆς αἰτίας. ὑμῖν γὰρ ἐξῆν, ὦ ἀθηναῖοι, κινωνῆσαι βασιλεῖ, τῶν πολλῶν καὶ μεγάλων χρημάτων· καὶ μερίτας γενέσθαι τῆς οὔσης εὐδαιμονίας αὐτῷ· ὅτε τῇ μεγάλῃ ναυμαχίᾳ πληγεὶς παρὰ τὴν νῆσον ταύτην τὴν πλησίον, τὰς ἀπὸ τῶν λογισμῶν ἐλπίδας προέμενος ἐπὶ τὸ διὰ πλούτου κτᾶσθαι τὴν πόλιν ἤρχετο· καὶ πέμπων ἐπηγγέλλετο τάλαντα ἀμύθητα, χωρὶς τῆς εἰς ἅπαντα τὸν μετὰ ταῦτα χρόνον εὐνοίας. ἀλλ' οὐκ ἀνεμνήσθησαν οἱ τῆς γῆς ἐκβεβλημένοι, καὶ τὰς τριήρεις οἰκοῦντες τῶν θεόγνιδος ἐπῶν· οὐδὲ ἔλαβον[79] καὶ δίκην μὲν οὖν ἔλαβον παρὰ τοῦ τολμήσαντος εἰπεῖν ὡς δεῖ λαβεῖν. καί τοι τῶν γε ταλάντων ἐκείνων οὔτε πλοῦς, οὔτ' ἄλλη τις ἡγεῖτο ταλαιπωρία. ἀλλ' οὐκ ἠνείχοντο πλουτεῖν μετὰ τῆς θητείας, ἣν ἀναγκαῖον ἦν εἰσελθεῖν εἰς τὴν πόλιν ὑπὸ τῷ μήδῳ γεγενημένην. τί οὖν; ᾔδει σωκράτης συμβαῖνον τῷ τρόπῳ

τῆς

[76] καταδεῶν (pro καταδεέων) aut καταδεεστέρων.

[77] f. πλουτοῦσι μὲν οὐ πολλοί.

[78] ἂν] malim οὖν.

[79] ἔλαβον] fcil. τὰ διδόμενα ὑπὸ ξέρξου τάλαντα τὰ πολλά. ibid. δίκην μὲν οὖν (fine καὶ).

τῆς πόλεως, ὡ ὁ θέογνις οὐκ ἀσφαλῆ ταῖς πόλεσι ταῦτα εἰσηγεῖται. εἰ γὰρ ὡς οἱ [80] παρ' ὑμῖν καὶ λέγοντες καὶ πολιτευόμενοι μετὰ χρημασίας [81] ἐπὶ τὰς ἐμπορίας τραπόμενοι, τὸ βοῦμα τοῖς πλουσίοις μὲν, ἥκιστα δὲ τὸ δέον εὑρίσκουσιν ἀφεῖταν· ἐνθυμεῖσθε ποίποτ' ἂν ἀφῖκτο τῇ πόλει τὰ πράγματα. ἵνα τοίνυν ὅτι τὰ χρησιμώτατα τῷ δήμῳ [82] ποιοῦντες ἐν ταῖς συνουσίαις σωκράτους, οἱ δ' συκοφαντοῦντες, ὅτι σαφέστερον μάθητε σεσιγῆσθαι μὲν ἐκείνῳ τἄλλα [83] θῶμεν· λεγέσθω δὲ παρ' ἐμοῦ νῦν πρὸς τοὺς ὑμετέρους παῖδας· βλαβερὰ δὲ ἄνυτος αὐτὰ δεικνύτω· κἂν ὑμῶν ἕνα τοῦτο πεῖσαι δυνηθῇ, τὴν αὐτὴν καὶ παρ' ἐμοῦ λαμβάνετε δίκην. οὐκ ὀρθῶς, ὦ νέοι, πεποίηκεν ὅμηρος ἐν ἰλιάδι, τοὺς μὲν τοῦ δήμου τυπτομένους ὑπὸ ὀδυσσέως, ὅτι ἀποπλεῖν ὥρμητο [84], τοὺς δ' ἐν τέλει λόγοις κατεχομένους, καὶ τούτοις ἡμέροις. οὐ γὰρ ταῖς τύχαις ἔδει τὸ δίκαιον ὁρίζειν. ἀλλ' εἰ μὲν ἀδίκημα ἦν πληγῶν δεόμενον τὸ καθέλκειν τὰς ναῦς, πάντας ἐχρῆν τύπτεσθαι. εἰ δ' ἁμάρτημα μέμψεως ἄξιον, οὐ τοὺς μὲν ἐπιτιμᾶσθαι· τοὺς δὲ ἕπεσθαι [85] ἐχρῆν· ἀλλ' ἀρκεῖν ἐφ' ἑκατέρων τὸν λόγον. οὐ γὰρ δὴ βελτίους ἦσαν τὴν φύσιν· τοὺς γε ἐν ἀξιώμασι τῶν πολλῶν [86] κρίνων διὰ τὴν ἐν τοῖς τρόποις ἀρετὴν, οὕτω διῄρει τὸ δίκαιον. ἔστι γὰρ καὶ εἰς δῆμον τελοῦντα εἶναι χρηστόν· καὶ τῶν ἄλλων ὑπερέχοντα τύχῃ γέμειν κακίας. ὁ δέ τοι τὴν κασσάνδραν ἐν ὀφθαλμοῖς αἰσχύνας τῆς ἀθηνᾶς καὶ τῶν μεγίστων συμφορῶν αἴτιος τῇ στρατείᾳ [87] καταστὰς, οὐ τῶν ἐκ δήμου τις ἦν· ἀλλὰ

80 *ὡς οἱ*] f. vno vocabulo *ὅσοι*.

81 *χρημασίας*] vocabuli miror insolentiam, et quid significet dubito. locum hunc vtique non intelligo.

82 f. *τῷ δήμῳ παραινοῦντα ἐν τ. σ. σωκράτην οἶδε* (Anytus et Melitus) *συκοφαντοῦσιν*.

83 *τἄλλα*] f. *ταῦτα* haec, quae ipse mox loco Socratis ex persona mea dicam.

84 *ὥρμηντο* in plurali, *ruerent*.

85 *ἕπεσθαι*] num *ἐπαινεῖσθαι*?

86 f. *οὐδ' ὀρθῶς τοὺς ἐν ἀξ. τ. πολλῶν προκρίνων*.

87 aut *τῇ στρατείᾳ* penacute cum diphthongo, aut *τῇ στρατιᾷ* cum circumflexo in vltima et iota simplici.

ἀλλὰ τῶν στρατηγούντων. εἰ οὖν ὀδυσσεὺς ἠγνόει τοῦθ' οὕτως ἔχον, οὐκ ἦν σοφός. πῶς οὖν ἐπαινεῖται· εἰ δ' ὁ μὲν οὐδένα ἔτυπτεν, ὁ δὲ ποιητὴς ἔφησεν, ἀδικεῖται μὲν ὀδυσσεὺς, βλάπτονται δὲ οἱ λοιποί· μή μοι, μηδὲ τὰς ἀδίκους αὐτολύκου κλοπάς. μηδὲ τὰς ἐπιορκίας ἑρμοῦ δῶρ' ἡγεῖσθε· μηδὲ μισθὸν τῶν πολλῶν καὶ κεχαρισμένων θυσιῶν. ὧν γὰρ εἰώθασι δίκην ἀπαιτεῖν οἱ θεοί, πῶς ἂν ταῦτα ἐν ἀμοιβῆς μέρει τοῖς ἀνθρώποις διδοῖεν. τί φῂς ἄνυτε· χείρους ἐγὼ πεποίηκα νυνὶ τοὺς ἀκούσαντας τῶν λόγων; οὐκ ἔστιν. οὐκοῦν οὐδὲ σωκράτης, ὅς τις οὐ ποιητὴς αὐτὸς ὢν, οὐδὲ φθονῶν ἐκείνοις τῆς δόξης, εἰς τὸ δεικνύειν ἐν οἷς βλάπτουσι τοὺς ἀκούοντας ἧκεν· ἀλλὰ τῶν περιπεσουμένων [88], ὅπως μὴ διαφθαρεῖεν προνοῶν, ἀφαιρῶν [89] τὴν δόξαν ἣν ὡς περὶ σοφῶν εἶχον· ὡς οὐκ ἂν δυναμένων σοφούς τε νομίζειν ὁμοῦ καὶ μὴ πιστεύειν αὐτοῖς· ἀλλ' ἄνυτος, ὥσπερ τῆς φύσεως [90] ἐπὶ τἀναντία πορευομένης, εἴ τις ἀθηναίων φρονιμώτερος ἀναφανείη τῶν ἑτέρωθι γεγενημένων ἀνδρῶν ἀγανακτεῖ, παραδοῦναι κελεύει τοῖς ἕνδεκα δὲ σωτῆρα τῶν νέων νομίζειν ἐν τοῖς περὶ ποιητῶν λόγοις. ἰδοὺ γάρ σε πάλιν ἐρωτῶ. πρὸς τίνα ἀνθρώπων τὰς παρ' ὀδυσσέως κατὰ τοῦ δήμου πληγὰς ἐπαινέσας ἐπέθηκε [91]. καὶ σὺ τοίνυν τῶν μὲν μέγα δυναμέ-

[88] τῶν περιπεσουμένων] scil. τοῖς ποιηταῖς studio saluti eorum prospiciendi, qui in poetas essent incursuri.

[89] προνοῶν, ἀφαιρῶν] alterum horum duum participiorum resolui sic debet ἐκ προνοίας τῶν τοῖς ποιηταῖς περιπεσουμένων, ἀφαιρῶν demens, detrahens, minuens gloriam ideo, quod consuleret illis, quos casus esset in consuetudinem cum poetis illaturus.

[90] τῆς φύσεως] scil. τῆς αὐτοῦ — τἀναντία] subaudi πᾶσιν ἀνθρώποις. quasi Anytum natura sua ad sententias deferret, sententiis aliorum omnium hominum repugnantes.

[91] ἐπέθηκε] f. ἐπέφησε *subiunxit haec verba.* ab ἐπίφημι. aut alienis aut meis verbis praemissis alia quaepiam subiungo. Ecquis est ad quem Socrates postquam laudasset locum illum Homericum de plagis, ab Vlysse popularibus inflictis, illam suam huius loci praedicationem his verbis prosecutus esset. age ergo tu quoque

ναμένων καὶ λαμπρῶν ἀπέχου· τοὺς δὲ πενεστέρους ἔλαυνε. τίνα δὲ τῶν οὐ τοῦτο πεποιηκότων, ὡς ἀπειθοῦντα, τῆς παρ' ἑαυτῷ συνουσίας ἀπέκλεισεν. εἰ δὲ λέγεις, αὐτὸν μὲν ἀξιόπιστον οὐκ ἐνόμιζεν ἔσεσθαι· τῇ δὲ δόξῃ τῶν ποιητῶν ἐπὶ τὸ πείθειν ἐχρῆτο. τὸ μὲν ὡς ἐναντία σαυτῷ λέγεις παρίημι· τοτὲ μὲν ὡς κατηγοροῦντα, τοτὲ δὲ ὡς ἐπαινοῦντα τοὺς αὐτοὺς, διαβάλλων. πολὺ δέ σοι τοῦτο λόγον ἰσχυρὸν ἀντιθήσω· φέρε γὰρ ἐπὶ τίνα τῶν θεῶν ἐν τοῖς ἀδήλοις καταφεύγομεν· καὶ παρὰ τούτου τἀληθὲς ὑπὲρ ἑκάστου μανθάνομεν; οὐκ ἐπὶ τὸν τὰ μέσα τῆς γῆς ἐπὶ μαντείαις κατέχοντα; τὸν ἀπόλλω τὸν πύθιον, οὗ τοῖς χρησμοῖς ἀκολουθοῦντες τὰ μέγιστα τῶν ἔργων ἐπράξαμεν· οὗτος τοίνυν ὁ τῇ πόλει πατρῷος, ἅπαντας τοὺς ἄλλους ὑπερβὰς, τὸν νυνὶ κρινόμενον, ἀνεῖπε σοφώτατον. οὐ τὴν ὑπὸ τῶν πολλῶν θαυμαζομένην[92]· πολλοὺς γὰρ πρὸ τοῦδε ταύτῃ προσειπεῖν[93]. ἀλλ' ἧς[94] ἐστι τὸ περὶ τὴν ἀλήθειαν, καὶ τὴν ταύτης ζήτησιν, διατρίβειν. καὶ γέγονεν ἀπ' ἐκείνης τῆς ἡμέρας ὁ σωκράτης ζηλωτὸς, οὐχ ἕτερος. μεῖζον μὲν οὐ φρονήσας ἢ πρόσθεν· οὐδὲ φυσηθεὶς ὑπὸ τῆς μαρτυρίας· τῶν δ' αὖ φθονούντων, εἰκόντων αὐτῷ τῆς ἐφ' ἑκάστου γνώσεως· ἐν οὖν τοῖς πρὸς τοὺς νέους λόγοις, τί ἂν ἔδει πινδάρου καὶ σιμωνίδου καὶ ποιητῶν μετὰ τὰς ἐκ δελφοῦ φωνάς· ὥσπερ ἄν τις ἔχων μάρτυρας τοὺς δικαστὰς, τοῦτ'[95] ἀφεὶς ἀνθρώπῳ καπήλῳ προσέχειν ἀξιοίη, πᾶν ἀργυρίου ποιήσοντι. ἐνῆν τοίνυν τῷ σωκράτει παρακαλοῦντι πρὸς τὰ χείρω τοῖς ἐνδιδοῦσι[96] λέγειν, ὅτι

que, mi cariſſime a praepotentibus quidem abſtine manus —

[92] poſt θαυμαζομένην videtur σοφίαν deeſſe.

[93] poſt προσειπεῖν deeſt ferme tale quid εἶχεν ἂν δεινούς. multos potuiſſet vel debuiſſet appellare, hoc in genere ſapientiae Socrati praeſtantiores.

[94] ἀλλ' ἧς] id eſt ἀλλὰ σοφώτατον κατὰ ταύτην σοφίαν, ἧς ἔργον ἐστιν.

[95] f. τούτους (in accuſ. plur.) ἀφείς·

[96] ἐνδιδοῦσι] aut non ſatis intelligo, aut leg. eſt τοῖς συνοῦσι. quodſi tamen bene habet vul-

ὅτι ταῦθ' ὑμῖν [97] νομίζετε τὴν πυθίαν παραινεῖν. ταῦτα τὸν ὑπὸ τῷ παρνασσῷ μαντευόμενον θεόν. ἐκεῖνός με κέκληκε σοφώτατον· εἰς ἐκεῖνον, ἐάν τις ἀντιτείνῃ, πλημμελεῖ. τούτων οὐδεὶς οὐδένα ἀκήκοε τῶν λόγων· οὐδὲ τολμήσει ἄνυτος καὶ τοῦτο ψεύσασθαι· καίτοι [98] κατὰ τῶν λόγων τῶν μεγίστην δόξαν ἐχόντων ἐπὶ σοφίᾳ· τῷ τοίνυν ἐνταῦθα δόξης ἑστηκότι, τί περιόδων ἔδει, μέγιστον ἐφόδιον εἰς πειθώ, τὴν ἐπὶ σοφίᾳ φήμην ἔχοντι. νέοι δὲ, πατέρων πρότερον ἄγοντες ἐκεῖνον, ὡς λέγεις· καὶ πρεσβυτέρων ἀδελφῶν ὑπερορῶντες, καὶ καθάπερ ὑπὸ γόητος ἑλκόμενοι τοῦ σωκράτους, τί πλέον ἂν ἐζήτησαν τοῦ νεῦσαι τῶν ἄνθρωπον. οὐτ' ἂν οὗτος ἂν ἔχρηζε τῶν ποιητῶν εἰς τὸ πείθειν· γονεῖς τε [99] ὑβριζόμενοι καὶ ἀδελφοὶ καταφρονούμενοι, πάντες ἂν ἤλγησαν καὶ παρωξύνθησαν [100], καὶ πρὸς δοκιμαστήριον ἧκον. καὶ τοὺς μὲν αὐτῶν [1] ἠνάγκασαν σωφρονεῖν· τὸν δὲ ἔπαυσαν, ἀπολλύντα τοὺς νέους. τίς οὖν πατὴρ ἀπεκήρυξε τὸν αὐτοῦ, φάσκων πονηρὸν διὰ σωκράτην γεγονέναι. τίς οἴκοι καθεῖρξε τὸν υἱὸν, ὅπως μηκέτ' ἀκούῃ τῶν διαφθειρόντων ῥημάτων. οὐδείς· ᾔδεσαν γάρ τά τε ἄλλα ἃ πρὸς ὑμᾶς νῦν διῆλθον, καὶ περὶ τῶν λοιπῶν ἃ δίειμι· τοῦτε κλέπτειν, καὶ τῆς ἱεροσυλίας, καὶ τῆς ἀπάτης. ταυτὶ γὰρ οὐκ εἰς ἅπαξ ἡγεῖτο δεινὰ, καὶ τοῖς νόμοις ἐναντία. γίγνεσθαι γὰρ αὐτοῖς παρὰ τῶν πολέμων τὸν καιρόν. καὶ στρατηγὸς ἀμείνων ὁ κλέπτων τοῦ δεδιότος, μὴ διὰ κλοπῆς νικήσῃ. κἂν ἀπατῶν [2], ὥσπερ μηχανὴν προσαγάγῃς τοῖς ἐχθροῖς, ἔννομα δέδρακας. οὕτως ὁ θεμιστοκλῆς ἐκεῖνος, δυοῖν ἀπάταιν,

vulgata, ſubaudiri debet ἑαυτοὺς αὐτῷ eos, ſi qui ſeſe Socrati traderent, permitterent.

[97] ὑμῖν,] ſic dedi. ἡμῖν Mor.

[98] verſum hunc non intelligo.

[99] τε] malim δέ.

[100] παρωξύνθησαν.

[1] τοὺς μὲν αὐτῶν] ſcil. υἱοὺς vel ἀναγκαίους.

[2] ἀπατῶν accipio non pro nominatiuo participii, ſed pro genitiuo nominis ſubſtantiui ἀπάτη. vt conſtructio ſit ὥσπερ μηχανὴν ἀπατῶν quaſi machinam quandam impoſturarum.

ταιν, τῇ μὲν ἐτείχισε τὴν πόλιν· τῇ δ᾽ ἔσωσε τὴν ἑλλάδα. καὶ μὴν καὶ τοὺς ἰατροὺς ὁρῶμεν, τὰς τῶν καμνόντων ἐπιθυμίας ἀπάταις ἀναβάλλοντας· ἤδη δέ που καὶ πρὸς ὑγιαίνοντας τοῦτο ποιοῦμεν, ὅταν ᾖ κρεῖττον, τοῦ τἀληθὲς ἀκοῦσαι, τὸ παρακρουσθῆναι. τί οὖν ἠδίκει σωκράτης, ἢ [3] μέλανθος ὡς ἐνίκησε λέγων· ἔστω γάρ τι καὶ ψεῦδος ἐν μάχαις. δέχεται γὰρ ὁ περὶ τῆς ψυχῆς ἀγὼν τὸ κλέμμα· ἢ τὸν ὀδυσσέα φάσκων ἐπὶ τῇ τοῦ παλλαδίου τιμηθῆναι κλοπῇ. τὰ γὰρ τῶν τρώων [4] ἔκλεπτε τῶν τὰ τιμιώτατα τῶν τοῦ μενελάου κεκλοφότων προπατέρων ἀλλ᾽ οἴεσθε [5] σωκράτην εἰ κατὰ τῶν πολιτῶν καὶ φίλων παρεκάλει τοὺς νέους, ἐχθρῶν ἂν εἰς ἐχθροὺς ἔργα παρενεγκεῖν νόμῳ πολέμου συνεῤῥογότων· ὡς οὐκ εἴξοντος αὐτῷ παρὰ τῶν ἀκουόντων, ὅτι τῆς συμβουλῆς ἀπᾴδει τὰ παραδείγματα. ἀλλ᾽, οἶμαι, δεικνὺς ἐστὶν οὐ τὴν κλοπὴν τῶν χρησίμων [6], ἐμέμνητο τῶν περὶ τὴν τροίαν, λέγων οὐδὲν καινὸν, ἀλλ᾽ ἃ ποιεῖτε πολεμοῦντες ὑμεῖς, λακεδαιμόνιοι

[3] ἢ —] respondet alterum ἢ paulo post. ὡς accipio hic pro ὅπως *quomodo*. constructio est ἢ λέγων, ὅπως Μέλανθος ἐνίκησε. Melanthus ille est Messenius, qui, pulsis e Peloponneso Heraclidis cum Athenas venisset, singulari certamine cum Xantho, Boeotorum rege, congressus, cum dolo vicit atque necauit, eoque meruit, vt rex ab Atheniensibus crearetur. v. Simson Chron. A. M. 2877.

[4] Constructio haec est τῶν τρώων τῶν κεκλοφότων τὰ τιμιώτατα τῶν προπατόρων τοῦ Μενελάου. Sed, quaenam illa sunt pretiosissima, maiorum Menelai, a Troianis surrepta? mihi non liquet.

[5] Verum enim vero videturne vobis Socrates, si voluisset familiarium animos aduersus ciues et amicos concitare, prolaturus exempla fuisse facinorum, ab hostibus commissorum, aduersus hostes, quibuscum iure belli collisi essent. ὡς οὐχ ἥξοντος (ab ἥκειν) quasi non potuisset statim praevidere, sibi occursuram esse hanc exceptionem, vel auditores statim ipsi hoc esse oppositūros, exempla inter se haud consentire, documenta proposita abhorrere a re docenda.

[6] τῶν χρησίμων] subaudi τε οὖσαν.

νιοι [7] πάντες ἁπλῶς· οἳ ὅταν κατασκάπτωσι τῶν πολεμίων πόλεις, οὐδὲ τῶν ἱερῶν ἀπέχονται χρημάτων· πᾶν κέρδος τὸ παρὰ τῶν δυσμενῶν, ὅσιον κρίναντες. ὁ δὲ θυέστης καὶ τὸ τοὺς ἕλληνας ὑπὸ τῶν ὑμετέρων ἐξαπατᾶσθαι πατέρων, ἐμβέβληται παρὰ τῆς ἀνύτου πονηρίας· εἰδότος ὡς ἀπὸ μὲν τῶν εἰς τοὺς τρῶας καὶ τὸν ἄρχοντα βοιωτῶν, οὐκ ἂν δόξῃ κακοὺς ἀπεργάζεσθαι τοὺς ἀκούοντας ὁ σωκράτης· ἀπὸ δὲ τούτων ἃ προστέθηκεν αὐτός. ἀλλὰ καὶ σωκράτης [8] μὲν σοὶ καλῶς ἄνυτε ἠπίστατο μαχομένοις πρὸς ἄλληλα χρησόμενος παραδείγμασι· εἰ τόν τε ὀδυσσέα, καὶ τὸν θυέστην, καὶ μέλανθον, καὶ τοὺς προγόνους ἀναμίξειεν [9] ὡς ἐξαπατησάντων τοὺς ἕλληνας, οὕτως ἐμνήσθη. ὥστ᾽ εἰ μὲν ὑπ᾽ εὐηθείας τοῦτο πέπονθεν ὁ σωκράτης, πόῤῥω δήπου κακοτεχνίας καὶ δεινότητος ἂν εἴη, καὶ τοῦ ῥᾳδίως ἔχειν ἐξαπατᾷν. εἰ δ᾽ ἐπὶ πλεῖστον ἥκει σοφίας, πάντως ἂν ἐφυλάξατο τὰ τῶν λόγων [10] αὐτῷ βλάψοντα τῶν παραδειγμάτων· καὶ ἢ ταῦτα [11] ἄν, ἢ ταῦτα παρέλιπεν. τῷ μὲν γὰρ δικαίους βουλομένῳ ποιεῖν, οὐκ εἶχε καιρὸν μνησθῆναι τῶν τοὺς οἰκείους ἠπατηκότων· τῷ δὲ ἀδίκους, καιρὸς ἂν ἦν λέγειν, ἃ πολέμιοι πολεμίους ἔβλαψαν. ἀλλὰ τί ταῦτα θαυμάζω, ἀφεὶς,

[7] f. ὑμεῖς καὶ λακεδαιμόνιοι.

[8] f. ἀλλὰ γὰρ σωκράτης.

[9] f. ἀναμίξας. alias non conſtat conſtructio.

[10] τὸν λόγον in accuſatiuo. conſtructio eſt τῶν παραδειγμάτων τὰ βλάψοντα τὸν λόγον. ea exempla, quae ſuam argumentationem eſſent euerſura, refutatura.

[11] ταῦτα] h. e. παραδείγματα βλάβης παρὰ τῶν οἰκείων ἠπατηκότων. v. verſ. 40. ταῦτα ſecundum redit ad exempla damnorum, hoſtibus ab hoſtibus datorum. ad iuſtitiam ſi quos adducere doctrina velis, inconſentaneum eſt, iis a te exempla generis. prioris proponi. nam amicos et neceſſarios ab amicis per fraudes laedi, iuſtitiae aduerſatur. contra ſi quos hortari velis ad iniurias dandum, id quod Anytus Socratem feciſſe aiebat, haud conuenit iis exempla proponere poſterioris generis. nam hoſtes damna hoſtibus ſuis inferre, non modo iniuſtitiae pars eſt, ſed vel iuſtitiae adeo, et fieri oportet, et honeſtum atque praeclarum eſt.

ἀφεὶς, ἐφ᾽ ᾧ μᾶλλον ἄν τις σχετλιάσειε. διδάσκει γὰρ, φησιν, ἐπιορκεῖν. ὁ μηδ᾽ ἐν οἷς εὐορκεῖν μέλλει, τοὺς θεοὺς ὀμνύων· ἀλλ᾽ ἀποχωρῶν εἰς ἕτερ᾽ ἄττα, καὶ συνεθίζων ἐν τοῖς ὅρκοις τοῖς αὐτοῦ [12], μὴ ῥᾳδίως προσιέναι τοῖς ὀνόμασι τῶν θεῶν. ὥσπερ ἂν εἴ τις τὸν οὐδ᾽ ἀπὸ γῆς ἰδεῖν τολμῶντα τὴν θάλασσαν, φάσκει τοὺς ἄλλους ἀναπείθειν χρῆσθαι τῇ θαλάττῃ, καὶ τῷ πλεῖν. δείξας, ὅταν ἐπιορκηκότα [13] πολλαχοῦ τὸν ἄνθρωπον, καὶ συγχέοντα πίσεις· οὕτω φάσκε τοὺς ἄλλους ὑπ᾽ αὐτοῦ πεπαιδεῦσθαι τῶν θεῶν ὀλιγωρεῖν. καὶ περὶ τῶν λοιπῶν δὲ ταὐτὸν αἰτιῶν λέγω· δείξας ἱεροσυλήσαντα, κεκλοφότα; βεβιασμένον· οὕτω φάσκε πολλοὺς αὐτῷ παραπλησίους εἰργάσθαι. εἰ δὲ τοὺς μὲν λόγους αὐτῷ φῂς εἶναι πονηρούς· οὐδὲ γὰρ τοῦτο δεικνύεις [14]· τοῖς δ᾽ ἔργοις οὐκ ἔχεις ἐγκαλεῖν, οἷς ἀνάγκη τὰ βεβιωμένα θαυμάζειν, τούτοις ἃ τοὺς λόγους αἰτιᾷ συκοφαντῶν, ἐλέγχῃ. τὸν ἐπαινοῦντα λῃστείαν [15], οὐχ ὁρῶμεν ἀπεχόμενον τῶν ἀλλοτρίων γάμων [16]· ἀλλὰ τὸν μὲν διακόπτοντα συζυγίας· τὸν δὲ τοίχους διορύττοντα· καὶ ὅλως ἐν τοῖς τοιούτοις, ἀκολουθοῦντα τὰ ἔργα τοῖς λόγοις· εἰ δέ τις ἐφ᾽ ἃ τοὺς ἄλλους ἄγειν ἀξιοῖ, τούτων αὐτὸν ὡς πορρωτάτω φυλάττει, τὴν ἐκ τῶν λόγων συμβουλὴν τῇ παρὰ τῶν ἔργων λέλυκε· τῷ μὲν ἀσθενεστέρῳ παρακαλέσας, τῷ κρείττονι δὲ ἀποτρέψας. οἷον εἴ τις ἐπιδιδόναι τῷ δήμῳ χρήματα παραινῶν, αὐτὸς φείδοιτο τῶν αὐτοῦ, κεκώλυκε τὴν ἐπίδοσιν, οἷς περὶ τῶν ἑαυτοῦ βεβούλευται. εἴ τις ἐν μάχῃ προσπίπτειν τοῖς ἐναντίοις κελεύων, ἐπὶ τοῖς λόγοις τούτοις λείπει τὴν τάξιν, πάντας ἐποίησε δειλούς· ἔργῳ φοβήσας μᾶλλον ἢ θρασύνας τῷ λόγῳ. καὶ ὅλως ἐν τοῖς τοιούτοις σύμβουλος

[12] τοὺς αὐτοῦ. in accuſatiuo. aſſuefaciens familiares ſuos.

[13] ἐπιωρκηκότα (per ω) et συγχέαντα (per α).

[14] οὐδὲ γὰρ τοῦτο δεικνύεις] id eſt φῂς γὰρ μόνον, ἀλλ᾽ οὐ δεικνύεις.

[15] f. τὸν ἐπαινοῦντα μοιχείαν ἢ λῃστείαν.

[16] γάμων abeſſe malim, aut ſaltim poſt συζυγίας collocari.

λος πιθανὸς, ὁ πρῶτος τῶν πράξεων, ὧν ἔχεσθαι συνεβούλευσεν, ἁπτόμενος. εἰ τοίνυν σωκράτης ἐπιορκεῖν καὶ κλέπτειν, καὶ βιάζεσθαι, καὶ τ' ἄλλ' ἃ φησιν ἄνυτος ἐδίδασκεν, αὐτὸν τἀναντία πεπεικὼς, αἰδεῖσθαι θεοὺς, χρημάτων καταφρονεῖν, μέτριον εἶναι, σώφρονα, ἐπιεικῆ παίζειν ἂν ἔδοξε τοῖς λόγοις, οὐ τοιοῦτος ἐπὶ τῶν ἔργων δεικνύμενος· καὶ καλὰ νομίζειν ὡς ἀληθῶς, οὐχ' ἅπερ ἔφασκεν, ἀλλ' ἐφ' οἷς ἐφαίνετο ζῆν [17]· ὥστε μᾶλλον ἀμελήσαντες τῶν λόγων ἐκεῖνα [18]. οὐδὲ γὰρ ἂν, τοῦτο δὴ ὑπέλαβον, ὡς σωκράτης ἃ τοῖς ἄλλοις ἄγαν προὐξένει, τούτων ἂν αὐτὸν ἀποστερῇ· καὶ τοῖς μὲν ὁμιλοῦσιν ἐδήλου τὰς ἐπὶ τὸ βέλτιστον ὁδοὺς, αὐτὸς δὲ ᾑρεῖτο τὴν πρὸς τὰ χείρω φέρουσαν· ἀλλ' οὔτε λόγοις, οὔτ' ἔργοις οὗτος ποτὲ πρὸς κακίαν ἡγήσατο τῶν νέων· ἀλλ' οἱ μηδὲν ἐοικότες τούτῳ, καὶ γράφονται γραφὰς ἀδίκους, καὶ κατηγοροῦσι τὰ ψευδῆ. κἂν ἁρπάσαι δυνηθῶσι τῶν πολιτῶν τινὰ, τοῦτο ἡγοῦνται λαμπρόν. ἐρωτῶντες [19], τί ἂν οὐ περὶ αὐτοῦ ταῦτα λάθρα ἔλεγον, ἐπεπόνθεσαν οὐδὲν κακόν. εἴπερ ἐπ' οὐδενὶ κακῷ, καθάπερ οὐδ' οὗτος ἐχρῆτο τοῖς λόγοις, ὑπὲρ οὗ καὶ ταὐτὸ γίνεται, τὸ μὴ λάθρα ποιεῖσθαι τοὺς λόγους· ὡς τοῖς μὲν ἀδικοῦσι καὶ κακουργοῦσιν ἐν σκότῳ, οὐ λήσειν ἐλπὶς, τὰ τοιαῦτα πράττεται· τοῖς δ' ἁπλῶς καὶ δικαίως ζῆν αἱρουμένοις ἐν μέσῳ καὶ πάντων ὁρώντων, ἅπαντα γίγνεται· διὸ καὶ θαυμάσαι τις ἀνύτου πείθοντος ὑμᾶς δεινότερα τῶν φανερῶν τ' ἀφανῆ νομίζειν. εἰ γὰρ ἃ μὴ κρύπτειν φησὶ σωκράτης, οὕτως ἂν εἴη βλαβερὰ, τίς ἂν εἴη, καὶ τίς συμβουλεύει [20] μόνους ἔχων τοὺς ἐραστὰς ποῦ ποτὲ [21]; τί ταῦτα ἀναισχυντεῖς, ἄνυτε; τίς σοι συνουσία σωκράτους ἔξω τῶν γνωρίμων τόπων; τίς οἶκοι; τίς ἐπ' ἀγροῦ; τίς ἑτέρωθι; ἀλλ' ἵνα μὴ καὶ τοῦτ' ἀπο-

[17] malim ζῶν in participio.

[18] ἐκεῖνα] scil. ἐν οἷς ἐφαίνετο ζῶν. tum deesse videtur ἐδίωκον vel simile quid.

[19] locum hunc non intelligo.

[20] f. καὶ τί συμβουλεύοι.

[21] sic distinguo. ποῦ; πότε; *vbi? quando?*

ἀποφάσκων, λανθάνων [22] εἰς ἀδίκημα θεὶς, τοσοῦτον ἀπόκριναι· πότερον ταῦτα κατηγορεῖς τὰ δῆλα [23]; τὰ πολλοὺς ἔχοντα μάρτυρας βλάπτοντός ἐστι καὶ παρανομοῦντος. ἢ οὔ; εἰ μὲν γὰρ οὐδὲν ἂν ἀπ᾽ αὐτῶν γένοιτο κακὸν, οὐδὲν συμβέβηκεν [24], ὡμολόγηκε συκοφαντεῖν. εἰ δ᾽ ἔστιν οἷα κατηγορῶν εἴρηκας, πολλὴν ἀνδρείαν, μᾶλλον δὲ ἀπόνοιαν τοῦ σωκράτους λέγεις. τί οὖν μαθὼν τὰ μὲν εἰς μέσον ἔφερε· τὰ δὲ ἀπεκρύπτετο. ἢ γὰρ δεδοικὼς κίνδυνον πάντα ἂν ἦγεν εἰς τὸ ἀφανές; ἢ φιλοκίνδυνος ὢν οὐκ ἔστ᾽ ἐφ᾽ ὅτῳ τῶν πάντων ἔδεισεν ἄν. οὐ γὰρ δὴ μείζω γε τῶν ἐν τῷ φανερῷ φήσεις ἕτερα τολμᾶσθαι· τί γὰρ ἂν τοῦ διαφθείρεσθαι τοὺς νέους, καὶ καταφρονεῖσθαι τοὺς νόμους, καὶ κινεῖσθαι τὴν πολιτείαν δεινότερον καταγένοιτο [25]; ὅταν δὲ λέγῃ τοῖς μὲν νέοις αὐτὸν διαλέγεσθαι, τοῖς πρεσβυτέροις δὲ οὐκ ἐθέλειν, ψεύδεται· καὶ οὕτως ἐστὶν ἀναιδὴς, ὥσθ᾽ ὁρῶν ἐν ὑμῖν καὶ τοῖς περιεστηκόσιν οὐκ ὀλίγους τῶν καὶ χαιρόντων, καὶ συνόντων, καὶ χρωμένων, καὶ ὧν εἰώθει λέγειν ἀκηκοότων· ὅμως φησὶν αὐτὸν φεύγειν μὲν τοὺς ἄνδρας, θηρεύειν δὲ τὴν νεότητα· νομίζει γὰρ ὑμᾶς ὧν ἂν αὐτοῖς σύνιστε παρὰ πάντα τὸν χρόνον, ἃ νῦν ἀκούεις [26] πιστότερα θήσεσθαι· χωρὶς δὲ τούτων εἰ μὲν αὐτὸν μὲν διδάσκαλον, οἴκημα δέ τι διδασκαλεῖον προσειπὼν, ἐνταῦθα ἱδρυθεὶς, θυρωρὸν ἀποδείξας, τοῖς μὲν εἰσιέναι παρίει· τοῖς δὲ μὴ, μᾶλλον δὲ νόμον ἐτεθείκει, νέοις μὲν εἰσελθεῖν εἶναι, πρεσβυτέροις δὲ μή. τάχ᾽ ἄν τις ὑπώπτευε τὴν συνουσίαν. εἰ δ᾽ οὐδ᾽ ὑπέσχετο διδάξειν, οὔθε μόνους τοὺς νέους· πανταχοῦ δὲ, οὗ τῶν διαλεξομένων λάβοιτο, τοῦτ᾽ ἦν αὐτῷ χωρίον διατριβῆς. φάσκοντι μανθάνειν ἐπιθυμεῖν, κύκλῳ τε αὐτὸν ὄχλος τῶν βουλομένων περιέῤῥει. τί δεῖ τοῦτο λέγειν, ὡς τοῖς μὲν συνῆν, τοῖς

[22] locus rursus vitiosus.

[23] πότερον ταῦτα, ἃ κατηγορεῖς, τὰ δῆλα — cohaeret πότερον cum βλάπτοντός ἐστι.

[24] οὐδὲ συμβέβηκεν.

[25] aut γένοιτο simplex leg. aut δεινότερον καὶ ἀσεβέστερον γένοιτο.

[26] f. ἀκούετε (in secunda pluralis.) *auditis.*

τοῖς δὲ οὔ; οὐ γὰρ σωκράτης τοὺς τῆς ἀκοῆς ἐπιθυμοῦντας ἀπήλαυνεν· ἀλλ' οἱ μηδὲν δεόμενοι τῶν λόγων, οὐ προσήεσαν σωκράτει. σὺ δὲ παραπλήσιον ποιεῖς, ὥσπερ εἰ τοῖς ἀνέμοις ἐγκαλεῖν[27], ὑπὲρ τῶν πλεῖν οὐ βουλομένων· ἢ νὴ δία γε ταῖς κρήναις, ὑπὲρ τῶν οὐχ' ὑδρευομένων[28]. εἰ δὲ δεῖ καὶ τὴν αἰτίαν εἰπεῖν, πόθεν νέοι μᾶλλον ἢ πρεσβύτεροι μετεῖχον τῶν λόγων; οὐδὲν ἐρῶ ποικίλον· ἀλλ' ὃ παρὰ τοῖς μουσικὴν καὶ γράμματα καὶ τὰ ἄλλα διδάσκουσι πλείους ποιεῖ τοὺς νέους, τοῦτο καὶ παρὰ τῷδε· τί οὖν τοῦτο ἐστί; τὸ τοὺς μὲν ἐν τῇ τῶν μανθανόντων ὄντας ἡλικίᾳ τούτῳ μόνῳ προσέχειν τὸν νοῦν τῶν ἄλλων ἀφειμένων[29]. ὑμῖν, ὦ ἄνδρες, οἶμαι μυρίας πανταχόθεν περικεχῦσθαι τὰς φροντίδας, γυναῖκας, παῖδας, τὴν οἰκίαν, πρεσβείας, δημηγορίας, συλλήβδην εἰπεῖν τὴν ὑπὲρ τῶν κοινῶν πρόνοιαν· ἃ καὶ τοῖς σφόδρα βουλομένοις, ἐν οἷσπερ οἱ νέοι, διατρίβειν, ἐν ποσὶν ἂν εἶεν. μὴ δὴ τοῦτο λεγέτω τις, ὡς νέοι σωκράτει συνῆσαν· ἀλλ' εἴ τις τῶν πρεσβυτέρων εἴρχθη, συνεῖναι βουλόμενος. τὸ μὲν γὰρ ἕνεκα τοῦ φθονήσαντος ὧν εἶχον· τὸ δ' εἴπερ ἦγον σχολὴν, ἐκείνῳ ἡ γε μὴν αἰτία, τῶν κεκωλυκότων πραγμάτων· καὶ μὴν τοσοῦτόν γε ἀπεῖχε τοῦ φεύγειν διώκοντας, ὥστ' ἐνίους φεύγοντας ἐδίωκεν· οὓς δὲ σφῶν αὐτῶν ἀμελοῦντας εὕρηκεν, ἐπαινεῖν μὲν οὐκ εἶχε· μεμφόμενος δὲ ἐλύπει· ὥστ' εἰ πᾶσιν ἀθηναίοις ἐπῆλθε σωκράτει συνημερεύειν, ἀνθέλκοντος οὐδενὸ[5], ἧκον ἅπερ οἱ νέοι. ταῦτα δὲ ἦν μανθάνειν μὲν ἅττα λέγουσιν οἱ ποιηταί· μιμεῖσθαι δὲ τοὺς κυβερνήτας, καὶ τὰ πολλὰ[31] φυλάττεσθαι τῶν ἐπῶν, ὥσπερ ἐκεῖνοι τὰς ὑφάλους. ἀλλὰ τί βούλεσθε πρὸς τῆς ἀθηνᾶς, ὦ ἀθηναῖοι, περὶ τῆς ἀθηνᾶς πιστεῦσαι εὐθὺς τοὺς ὑμετέρους υἱεῖς, ὡς ἀνθρώπου μορφὴν ὑποδῦσα τὸν πάνδαρον ἤγειρε συγ-

27 f. ὥσπερ οἱ τοῖς ἀνέμοις ἐγκαλοῦντες.

28 ὑδρευομένων] sic dedi. ἰδρευομ. Mor.

29 aut ἀφειμένον (in accus. sing. leg.), vt ad νοῦν redeat, aut potius ἀφειμένους in accus. plur. tum ὑμῖν δὲ ὦ ἄνδρες.

30 rursus locus impeditus.

31 τὰ πολλὰ] f. τἀπατηλά.

συγχέαι τοὺς ὅρκους. καὶ περὶ τῆς ἥρας ὡς ὑπὸ τοῦ διὸς ἀγανακτοῦντος κρεμασθείη, χοίνικας ἔχουσα καὶ περὶ τῆς ἀφροδίτης, ὡς νῦν μὲν μάστροπος ἀλεξάνδρῳ γένοιτο· νῦν δὲ αὐτή τε καὶ ἄρης, ὑπὸ διομήδους τρωθεῖεν; ἀλλὰ τὸν ἀπόλλωνος καὶ ποσειδῶνος θητείαν οἴεσθε, νέοις λυσιτελεῖν, ἀλλὰ τὸν μικροῦ δεθέντα παρὰ τῶν ἐπ' αὐτὸν συνθεμένων θεῶν; ἀλλὰ τὴν πάντων θεῶν πρὸς ἀλλήλους μάχην; ἀλλὰ τὸν περὶ τῆς ἐκτομῆς λόγον, ἣν ὁ κρόνος ἐτόλμησεν; ἀλλὰ τὴν δίκην ἣν οὗτος αὐτὸς ἔτισε τὰ αἴσχιστα μὲν ἐργασάμενος τὸν ἑαυτοῦ πατέρα· τούτων δὲ οὐ κουφότερα παρὰ τοῦ παιδὸς παθὼν, ἆρα διαφθείρει σωκράτης τοὺς νέους, ἢ διαφθείρεσθαι κωλύει; καί τοι πους καλὸν, ὅμηρόν μὲν βλασφημήσαντα περὶ τῶν θεῶν τοσαῦτα, τιμῶν τυχεῖν· σωκράτην δὲ τὰ μὲν ἐπαινοῦντα τῶν ἐκείνου, τὰ δὲ οὐ δυνάμενον, ἀποθανεῖν. καὶ ταῦτα τοῦ κατηγόρου σφόδρα κακῶς εἰρηκότος ὅμηρον, ὡς δέον τοῦ αὐτοῦ[32], τοῖς μὲν ἄλλοις δίκην ὑπέχειν· τοῦτον δέ μὴ διδόναι λόγον. ἵνα τοίνυν μὴ ταὐτὰ ἐπιστῇ, μήθ' ὑμεῖς[33], ὡς κακῶς εἴρηκε τὸν ὅμηρον, ἀναμνήσω τί τῶν αὐτοῦ μικρόν. ὅτε τοίνυν ἔφασκεν ὀδυσσέα διὰ τὴν ἱεροσυλίαν, τὰ καὶ τὰ πεπονθέναι, τὰ μὲν ἐν γῇ, τὰ δὲ καὶ ἐν θαλάττῃ· καὶ τὰ μὲν ἐν τοῖς κομιδῇ[34], τὰ δὲ οἴκοι· τότε τούτοις ἅπασι τὸν ὅμηρον ἐλαύνει. πῶς; ὅτι πᾶς τις ὁμολογήσειεν, ἐγκώμιον ἐκεῖνον τοῦ πολυπλανοῦς ἀνδρὸς, τὴν ὀδύσσειαν πεποιῆσθαι, καὶ δεδόσθαι παρ' ὁμήρου τούτῳ μόνῳ τοσοῦτον, ὁπόσον τοῖς ἄλλοις ἅπασι τὴν μὲν ἰλιάδα, κοινὰν ἔπαινον συγκεῖσθαι· θατέρα[35] δὲ τὸν ὀδυσσέα τετιμῆσθαι· διὰ τοῦτο τὴν ἀθηνᾶν αὐτοῦ ποιεῖται τῆς σωτηρίας ἐπιμελουμένην. καὶ οὐ μόνον τὰ ἄλλα συμπράττουσαν, ἀλλὰ καὶ τὸ ἔιδος αὐτῷ τρέπουσαν νῦν μὲν ἔις αἶσχος, νῦν δὲ εἰς κάλλος,

[32] τοῦ αὐτοῦ] scil. ἔργου, τουτέστι τοῦ κακῶς εἰπεῖν τὸν ὅμηρον.

[33] f. μήτ' αὐτὸς ἀπιστῇ, μηθ' ὑμεῖς, scil. ἀπιστῆτε. ne igitur neque ipse diffidat, neque vos diffidatis.

[34] num τὰ μὲν ἐν τῇ ἀνακομιδῇ *in reditu in patriam.*

[35] θατέρα] scil. ῥαψῳδίᾳ.

λος, ὡς ἑκατέρου δεήσειεν. ἀλλὰ καὶ τὴν αἰτίαν αὐτῷ τῆς τοῦ ποσειδῶνος ὀργῆς, ἐποίησεν οὐ δικαίαν· ὁ μὲν γὰρ ὑπὲρ τοῦ κύκλωπος τυφλωθέντος ἤχθετο. ὁ δὲ τὸν κύκλωπα ἀμυνόμενος ἐδεδράκει· καὶ προσέτι γε σώζων αὐτόν. οὐκοῦν ἐν μὲν οἷς ἐπλανᾶτο, ἠδικεῖτο· ἐν οἷς δὲ τοσούτων κακῶν κρείττων ἦν, ἀρετὴν κεκτημένος ἐδείκνυτο. τῷ μὲν οὖν ὁμήρῳ ποιεῖν ἐπῆλθεν εἰς ἄνδρα θαυμαστὸν ἔπαινον. ἄνυτος δὲ ὃν ἐκεῖνος τά τε ἄλλα γενναῖον ἡγεῖτο, καὶ μόνον ἐπιθεῖναι τῷ μακρῷ πολέμῳ τέλος, πάντων ἀθλιώτατον ἀποφαίνει· καὶ τὸν αὐτὸν ἀσεβῆ καὶ κακοδαίμονα. τί οὖν ἄν τις ὁμήρου μᾶλλον κατηγορήσειεν, ἢ τὸ, τὸν κάκιστον τῶν ἐπ᾽ ἴλιον στρατευσάντων ἐκλεξάμενον, περὶ τοῦτον οὕτω πολλὴν εἰσενέγκασθαι σπουδήν. πότερον οὖν δίκην ὑπὲρ ὁμήρου λαμβάνειν οὗτός ἐστι δίκαιος, ἢ διδόναι μᾶλλον, ὃς τὴν ὑπόθεσιν αὐτῷ καταφέρει πρόῤῥιζον· αὐτὸς ὑπὲρ ἐπῶν οὐ πολλῶν ἐγκαλῶν ἑτέροις. εἰ γὰρ ὁ τὴν χεῖρά τῳ λωβησάμενος κολάζοιτ᾽ ἂν εἰκότως, τόν τε ἀποκτείνοντα, πῶς ἔνι μὴ μείζω παθεῖν; ἀλλ᾽ οὔτ᾽ ἄνυτος οὗτος ἢ [36] σωκράτης ἀδικοῦσιν, εἴ τι τῶν ποιητῶν εἰρημένων καταμέμφονται. ἀλλ᾽ ἀργοὺς φησιν ἐποίει σωκράτης. τίνα τρόπον; εἰπέ [37]. τὸ καθῆσθαι ποιοῦντα μηδὲν, τὸ μετιέναι [38] τὰς ἐργασίας ποτὲ βέλτιον· καὶ συνεβούλευσε τοῖς μὲν χειροτέχναις, ἀποστῆναι τῶν τεχνῶν· τοῖς γεωργοῖς δὲ μισῆσαι τὴν γῆν· τοῖς ἐμπόροις δὲ ἐκλιπεῖν τὴν θάλασσαν. τοῖς δὲ ναύταις καθεύδειν· τοῖς δὲ ναυκλήροις μὴ κατασκευάζειν τὰ πλοῖα· πᾶσι δὲ ἁπλῶς πάσης ἀφεμένης [39] πράξεως, εἰς τὸν οὐρανὸν βλέπειν, ὡς ἐκεῖθεν ἀφιξομένης τροφῆς. εἷς ἐξαπάντων ἀθηναίων

[36] ἢ] lege οὔτε item τῶν ποιηταῖς εἰρημένων aut τῶν ὑπὸ τῶν ποιητῶν εἰρημένων.

[37] εἰπὲ] sic dedi. dic. εἶπε Mor.

[38] f. τοῦ μετιέναι (in genitivo) τ. ἐ. πότε βέλτιον εἶπεν ἀποστῆναι καὶ συνεβούλ. desidere nihil agentem ecquando dixit praestabilius esse, quam consectari negotiationum exercitationes?

[39] ἀφεμένοις in datiuo.

ναίων παρελθὼν μαρτυρησάτω, καὶ σιωπήσομαι. εἰ δὲ τὸ μὲν ἀργεῖν οὐκ ἐπῄνει· τὸ δὲ τῇ κτήσει τῶν χρημάτων ἢ τῇ τῆς ψυχῆς ἀρετῇ, πλείω νέμειν τὴν σπουδὴν ἡγεῖτο τῶν ἀτόπων λόγων, τιμιώτατον τῷ μὲν ἀνθρώπῳ [40] ψυχὴν εἶναι· δεύτερον δὲ τὸ σῶμα· τρίτον δὲ χρήματα. πῶς ταῦτα πείθοντος ἦν ἀργεῖν· ὃς τῷ μὲν ἔργῳ τὸ προσέχειν [41], οὐκ ἐκάλει κακίαν· ἠξίου δὲ μὴ τὰ τῇ φύσει δεύτερα, πρὸ τῶν ἀμεινόνων ἄγειν. ἐπειδὴ γὰρ ἑώρα πολλοὺς, τοὺς μὲν υἱεῖς ἐν ἴσῳ τοῖς ἀνδραπόδοις τρέφοντας· καὶ οὔτε τὴν ψυχὴν παιδεύοντας· οὔτε τὸ σῶμα γυμνάζοντας· πανταχόθεν δὲ πλοῦτον ἐγείροντας, ὡς μίαν οὖσαν εἰς εὐδαιμονίαν ἀφορμὴν, ἵνα παιδεύσειε κακῶς φρονοῦντας, ἐπετίμα. καὶ μεθίστη, καὶ μετεπαίδευε· παραινῶν μὴ τὰ προσήκοντα περὶ ταῦτα ἀγνοεῖν· μηδ᾽ ἂν πλείστην ἀπαιτεῖν [42] πρόνοιαν, περὶ ταῦτα ῥαθύμως ἔχειν, ἃ δ᾽ ἐλάττονός ἐστι λόγον [43] περὶ τούτου πονεῖν· τοῦ δὲ ἦν, εὐπορεῖν τε αὐτοὺς βουλομένου, καὶ νοῦν ἔχειν. χωρὶς δὲ τούτων, εἰ μὲν οἷς ἀπὸ χειρῶν ὁ βίος, τούτους ἀφεῖλεν, ὅθεν ἔζων, ὥστ᾽ ἀνάγκην εἶναι προσαιτεῖν, τάχ᾽ ἂν ἠδίκει· εἰ δὲ οἰκέται [44] πολλοὶ, καὶ σὺ δὲ τοῦτο ὡμολόγηκας, ἄνυτε, πλησιάζειν σωκράτει λέγων, οὐ τοὺς ταπεινοτάτους, πῶς ἄσπορον ἐποίειν [45] τὴν χώραν, καὶ τὴν γῆν ἀπεστέρει γεωργῶν· εἰ τοῖς τοὺς ἀγροὺς κεκτημένοις καὶ τὰς περιουσίας, πρὸς τὸ τῆς ψυχῆς φροντίζειν, καὶ τῆς γῆς ὑπῆρχεν ἐπιμέλεσθαι· τοὺς μὲν οὖν ἄλλους, οὐκ ἐπέτρεπεν ἔργον [46]. αὐτῷ δὲ οὔτε χωρίον ἦν παρὰ τοῦ πατρὸς, οὔτε ναῦς τότε ἀργύριον ὅπερ ἦν, ὡς ἔφην, ἀπο-

λώλει

40 μὲν τῷ ἀνθρώπῳ.

41 f. ὃς τὸ μὲν ἔργῳ τῷ προσέχειν, (scil. τὸν νοῦν.) non appellabat quidem dedecus industriam, neque in vitiis numerabat.

42 f. μηδ᾽ ἃ πλείστην ἀπαιτεῖ (in indicatiuo.)

43 λόγου in genitiuo. et τοῦτο δὲ ἦν.

44 f. εἰ δὲ οἰκέται συνῆσαν αὐτῷ οὐ πάνυ πολλοὶ, καὶ οὐδὲ τοῦτ᾽ αὐτὸς ὡμολόγηκας —

45 ἐποίει (in tertia sing. imperf.)

46 f. οὐκ ἀπέτρεπεν ἔργων.

λώλει· καὶ προσῆγε, τὸ ῥᾷστα φέρειν πενίαν· οὐκοῦν οὐδεὶς ἀνθρώπων, ὡς οὗτος ἐκράτησε λιμοῦ· ὥστ' εἰ κατὰ τὴν σωκράτους φύσιν, ἂν ἦν συστῆναι στρατόπεδον· οὐκ ἂν ἦν ἕτερον ἀληπτότερον. ποῖον γὰρ οὐ δίψος; ποῖον δὲ οὐ θάλπος τοῖς τοιούτοις ἄλυπον· τί δ' ἂν ἄνυδρον χωρίον [47], ὡς οὐχ ἕν τι τῶν καταῤῥῶν διῆλθον. τῆς ἀργίας σωκράτους εἰλήφατε [48], ὦ ἀθηναῖοι, τοῦτο μὲν ἐπὶ δηλίῳ· τοῦτο δ' ἂν [49] ἐν ἀμφιπόλει· ὅτε δὴ τῇ πρὸς ἅπαντα καρτερίᾳ τοὺς στρατιώτας πρὸς αὐτὸν ἐπέστρεφεν, ὁμοίως νύκτωρ καὶ μεθ' ἡμέραν. ἐῴκει γὰρ σιδήρῳ [50] τινί· τοσοῦτον γὰρ κατεγέλα τοῦ περὶ θρᾴκην χειμῶνος. καίτοι τῇ μὲν ἀργίᾳ τὴ μαλακίαν· τῇ μαλακίᾳ δὲ τὸ μηδὲν τῶν τοιούτων φέρειν, ἀκολουθεῖν ἀνάγκη. ὁ δὲ τῆς τῶν ὡρῶν ὑπερβολῆς κρεῖττον ἦν. καὶ τῇ περὶ τὸ δήλιον τύχῃ φεύγων [51] μετὰ τῶν ἄλλων, μόνος ἦν τοῖς πολεμίοις, κἂν τῇ φυγῇ φοβερός· οὕτως ὑπὸ τῆς ἀργίας τότε σῶμα καὶ τὴν ψυχὴν διέφθαρτο. ἔοικε δὲ ἄνυτος ἐνεργοὺς νομίζειν τοὺς συκοφάντας μόνους· τοὺς δὲ παιδείᾳ προσέχοντας, καὶ τὴν αὐτῶν διάνοιαν ἐκκαθαίροντας, οὐδὲν ἔργον πράττειν. καὶ τοὺς μὲν ἀθλητὰς, οὐ κακίζει· καί τοι, τί τῆς ἰχύος αὐτῶν, εἰς ἕτερον ἂν διαβαίη· τοὺς δ' ἀντὶ τῶν σωμάτων, τὰς ψυχὰς ἀσκοῦντας, ὧν κἂν ἄλλος ἀπολαύσειεν, ἀχρήστους ἀποκαλεῖ. καὶ οὐ νομίζει ὡς [52] μέγιστον ἔργον, εἰ διὰ

τὰς

[47] τὶ δ' οὐκ ἂν ἄνυδρον ecquam nam regionem ſiticuloſam huiusmodi milites non traiiciant maiore cum patientia et animi aequitate, quam vllam aliam regionem aquis irrigatam.

[48] f. σωκράτους παραδειγματα εἰλήφατε.

[49] ἂν] malim aut abeſſe, aut eius loco legi αὖ.

[50] malim σιδηρῷ (in adiectiuo) *ferreo*.

[51] f. κρείττων (in maſculino) ἦν, καὶ τῆς περὶ τὸ Δ. — τύχης, ἢ φεύγων — et tempeſtatum ſaeuitie potior, et ſorte pugnae ad Delium, cuius culpa cum factum eſſet, vt vna cum reliquis fugeret —

[52] aut delendum eſt ὡς, aut cum πάντων mutandum.

[53] malim παριὼν, non procedit Socrates ad populum? non concionatur? recte. facit hoc cum multis aliis Athenienſium, qui idem faciunt. facit, Solone id

per-

τὰς παρὰ σωκράτους μέμψεις, οἱ τὰ κοινὰ πράττοντες φροντίσειεν ἀρετῆς· οὐ λέγει περιιὼν [53], μετὰ πολλῶν γε ἀθηναίων· δεδωκότος γε τοῦ σόλωνος, οὐχ ἔχων φύσιν δήμῳ δυναμένην ὁμιλεῖν· ὃ τῶν ἄλλων πολλοὺς ἰδιώτας τετήρηκεν. ἀλλ᾽ ἐὰν ἴδῃ νέους, πρὶν ὥραν ἥκειν ἐπὶ τὸ βῆμα πηδῶντας, ἐπιλαμβάνεται, κατέχει· τοῖς κοινοῖς μελετᾶν [54] οὐκ ἐᾷ· τοῦτ᾽ ἴδιον σωκράτους ἔθος. τί [55] πολλάκις ἐξείλετο τὴν πόλιν, κυβερνητῶν ἀπείρων· οὗτος ἀργῶν ἀθήνησι διαγέγονεν· ἐργαζόμενος μὲν οὖν τὰ πάντων ὠφελιμώτατα· ἐξαιρούμενος ἀνεπιστημόνων ῥητόρων τὸ πλῆθος. ἐγὼ δὲ, ὅστις μὲν ἠναντίωται τοῖς βαρβάροις [56], εὐεργέτην ἡγοῦμαι, τῶν οὐ γευσαμένων τῆς βλάβης· ὃν δ᾽ εὐεργέτην ἔξεστι προσειπεῖν, πῶς ἔτ᾽ ἂν ἀργόν τις καλοίη· τραπεζίτης γὰρ οὐκ ἔστι [57] κρείττων ἴσως τοῦ νέων ἡγῆσθαι τραπεζίτης ἀδικεῖ. σὺ δ᾽ ὅτι μὲν οὐκ εὐπορεῖ, μέμφῃ τὸ δ᾽ ὡς πρᾳότατα τὴν πενίαν οὐχὶ θαυμάζεις. καὶ λακεδαιμονίους μὲν ἄριστα πολιτεύεσθαι νομίζεις, οὐ φύντος αὐτόθι σοφιστοῦ. τοῦτον δὲ μετ᾽ ἐκείνων πενόμενον, τοῦτο καθ᾽ ὃ προσέοικεν ἐκείνοις, ἀδικεῖν λέγεις. ἦν δὲ οὐ ταῦτα πρότερον ἐν τοῖς δικαστηρίοις ἐγκλήματα· τὸ μὴ πλουτεῖν, τὸ μὴ χρυσὸν κεκτῆσθαι· τὸ μὴ συνεωνῆσθαι γῆν. ἀλλὰ πᾶν τοὐναντίον· χρημάτων ὄγκον συνείλεκται μέγαν· καὶ γεωργεῖ καὶ γέγονεν ἐξαίφνης ὑπὲρ τοὺς πολλούς. τίς οὖν μεταβολὴ, καὶ πόθεν; σωκράτης δὲ κινδυνεύει μόνος ἀνθρώπων διὰ τὸ τοῖς παροῦσιν ἀγαπῆσαι, δοῦναι δίκην. πονηρῶν, ἄνδρες, πονηρῶν ἔργων διδάσκαλον ἄνυτος καλῶν, καὶ φάσκων ἡμῖν ὑπ᾽ αὐτοῦ διεφθάρθαι τοὺς νέους, οὐκ ἔχε,

πλὴν

permittente, facit οὐκ ἔχων — ideo, quod ingenio caret ad agendum cum populo facto et nato. quae res multos in conditione priuata retinuit.

[54] τοῖς κοινοῖς μελετᾶν] videtur hic aliquid deesse.

[55] τί] lege ὃ *id quod.*

[56] τοῖς βαρβάροις] imo vero τοῖς βλαβεροῖς.

[57] τραπεζίτης γάρ ἐστι] hoc est obiectio, ab Anyto Socrati facta, quam defensor statim refutatum it. κρείττων ἴσως — Sed locum hunc hiulcum non intelligo.

πλὴν ἀλκιβιάδου καὶ τούτου [58] μνησθῆναι, περὶ ὧν τὸ μὲν ἀπολογεῖσθαι ῥάδιον· πάνυ δ' ἂν αἰσχυνοίμην, εἰ δόξαιμι καταλιπεῖν ἀλκιβιάδην, ἐν κοινωνίᾳ τῆς κριτίου δόξης, τοῦ τινὰ γνώμῃ δεδρακότος [59], τὸν πολλὰ μὲν εὖ πεποιηκότα, πάντα δὲ κωλυθέντα, λυπῆσαι δὲ ἠναγκασμένον· πῶς [60] οὖν μοι δοκεῖ μικρὰ χωρὶς ὑπὲρ ἐκείνου [61] διαλεχθέντα, μετὰ ταῦτα συγχωρῆσαι μὲν, ἴσην ἀμφοῖν εἶναι τὴν ἀδικίαν· δεῖξαι δὲ οὐδὲν με τὸν τῆς ἀδικίας σωκράτει. τί οὖν, ἄν τις ἀλκιβιάδου κατηγοροίη ποτὲ, ὅτι τὸν ἀλκιμαίωνα καὶ τὸν ἱππόνικον ἀκούων, τὸ [62] προαιρέσεις [63] γενναίας καὶ πράξεις ἐφαμίλλους [64], καὶ κλεινίαν καὶ μάχας, καὶ τελευτὴν [65] ἔνδοξον, φρονήματος ἔγεμε, δυοῖν οἰκίαιν γνωριμωτάταιν πρέποντος, ἢ ὅτι καλὸν αὐτὸν ἡ μήτηρ τέκοι. καὶ θαυμαστὸν τὴν ὥραν· ἢ ὅτι τὴν τῶν προγόνων διεδέξατο τάξιν· καὶ πρὸς τὸ τὴν πόλιν εὖ ποιεῖν ὥρμησεν, ἢ ὅτι τοὺς ὁμήρους [66] πρὸς τὴν σπάρτην ἐξεπολέμωσε· καὶ τὴν τῆς ἀττικῆς φθορὰν, ἐπὶ τὴν ἐκείνων μετέστησεν· ἢ ὅτι φαυλότερα τῆς ἡμετέρας ἀξίας τὰ ὄντα ἐνόμισε, καὶ τὰ ἀπόντα ἐζήτησεν. ἀλλ' εἰ τοὺς ἀφαιροῦντας τῶν ὑπαρχόντων μισεῖτε τάς γε προσθήκας πῶς οὐκ ἂν ἐπαινεῖτε. ἐκεῖνος τοίνυν εἶδεν, ὑπὲρ τὸν ἰόνιον εἶδε νῆσον μεγάλην· ὠρέχθη σικελίας· ἐπεθύμησεν ἰταλίας· ἤλπισεν ἕξειν λιβύην· ἔγνω παραστῆναι πελοποννήσῳ τὴν ἑσπέραν· ἐπεθύμησε λῦσαι τὸν πόλεμον τέλει καλῷ, καὶ προσπεσεῖν λακεδαιμονίοις, προσαυξήσας τῇ πόλει τὴν ῥώμην. ἀλλ' οἱ φθονοῦντες καὶ κωλύοντες, ἐπειδὴ λέγον-

58 τούτου] f. κριτίου.

59 τοῦ τίνα γνώμῃ δεδρακότος] bene habet. eius hominis, qui, quaenam et quanta fcelera perpetrauit destinato consilio, dedita opera?

60 πῶς] num πρέπον —?

61 ἐκείνου] de Alcibiade.

62 τὸ] imo vero καί.

63 προαιρέσεις] subaudi αὐτῶν.

64 ἐφαμίλλους] scil. ταῖς γενναίαις προαιρέσεσι.

65 καὶ μάχας καὶ τελευτὴν] scil. αὐτοῦ. pugnas Calliae, exitumque gloriosum.

66 f. ὁμόρους. Argiuos puta et Arcadas.

γοντες οὐκ ἐκράτουν, ἠσέβουν μὲν αὐτοὶ, καὶ περιέκοπτον τὰς ἑρμᾶς· τὰ δ' αὐτῶν κακὰ φέροντες, ἐκείνῳ περιῆπτον· καὶ μέτοικοι καὶ μυστήρια, καὶ σκευάρια καὶ πᾶσα τέχνη καὶ μηχανή· σκοπεῖτε δὲ δοῦναι λόγον ἦλθεν, οἱ δὲ ἐκέλευον πλεῖν ἐπὶ τὸν ἰόνιον [67]. εἰ δὲ τὸν δῆμον ἠρέθιζον· προσῆγε τὴν νῆσον· εἰ δὲ ἐκάλουν εἰς ὄλεθρον. τί οὖν ἐποίησεν; ὁ πᾶς τις εὖ φρονῶν, ἔσωσεν αὐτὸν, καὶ τὸν βάρβαρον ἐφυλάξατο· καὶ ἡγήσατο τότε παρὰ τῆς σαλαμινίας ἀκούειν, φεῦγε τὴν ταχίστην, ἀλκιβιάδη· φεῦγε· ζήτει σωτηρίαν· ὡς ἀθήνησι γε οὐκ οὔσης. δοκεῖς μὲν ἐπὶ κρίσιν [68]· καλῇ δὲ ἐπὶ θάνατον· πίστιν ἔχουσιν αἱ διαβολαί. καὶ πάντα τοῦτον κατηγοροῦ [69] τὸν χρόνον. τί οὖν θαυμαστὸν, εἴ τις ἀδίκως οὐκ ἠθέλησεν ἀποθανεῖν. τί δ' εἴ τις προσεδόκησεν ἀσφάλειαν [70], ἐκεῖσε ἔπλευσε. ὁ δὲ ἦν μὲν ἐν σπάρτῃ· τὰς ἀθήνας δὲ ὠνειροπόλει· καὶ οὐκ ἔφθη πιστευθεὶς [71], καὶ μεθ' ἡμῶν ἦν τὴν γνώμην· μεταφέρων μὲν ἐς τὴν τῆς πόλεως χρείαν, τὴν βασιλέως ῥοπήν. καταλύων δὲ τὸ λακεδαιμονίων ναυτικὸν ἀπορίᾳ μισθοῦ· τῶν δὲ προσδοκωμένων τριήρεων ἀποστερῶν· καὶ οὐ πρότερον ἐπαύσατο καταπολεμῶν ἐκείνους, φυγὰς ὢν, ἄνυτε, καὶ τὸν δῆμον εἰδὼς ἐπικείμενον αὐτῷ, πρὶν αἰσχυνθέντες ἡμεῖς ναυμαχίαν καὶ νίκας καὶ πόλεις προσγεγενημένας [73] ἐψηφίσασθε τὴν κάθοδον, καὶ τὰς ἀρὰς ἀνελύσατε. ὁ δὲ τοῖς μυστηρίοις, ὁ κάκιστος ἐκεῖνος ἐπέδωκεν

[67] poſt ἐπὶ τὸν ἰόνιον deeſt aliquid. de Alcibiade praedicans.

[68] poſt κρίσιν deeſt καλεῖσθαι.

[69] κατηγοροῦ eſt ſec. perſ. ſing. imperf. paſſiui. *accuſabaris.*

[70] f. εἴ τις, οὐ προσεδόκησεν ἀσφ. ſi quis eo nauigauit, vbi ſperauit, ſe ſalutem ſibi paratam inuenturum.

[71] et quam primum vos ei rurſus fidem habere inciperetis (Alcibiadi puta), referebat rurſus mentem voluntatemque ſuam ad vos.

[72] μεταφέρων μὲν] ſic dedi. μεταφέρομεν Mor.

[73] προσγεγενημένας] ſcil. ἑαυτοῖς διὰ τοῦ ἀλκιβιάδου.

δωκεν[74], ἀρχαίαν ὁδόν· καὶ ἐῶ λέγειν[75] ἁρμάτων πλῆθος, καὶ μεγάλας ὑπὲρ ὑμῶν ὀλυμπιάσι δαπάνας, ἀφ᾽ ὧν δόξαν ὑμεῖς εἰς τόνον ἰσχύος ἐσχήκατε· φανεῖται τοίνυν κἂν τοῖς δευτέροις[76] κυβερνήτου προπετείας, οὐχ ἑαυτοῦ κακίας ὑποσχὼν δίκην. καὶ ὅλως τῶν μὲν ἔξω κεκρατηκὼς, βασκανίας δὲ τῆς παρ᾽ ὑμῶν ἡττηθείς. πολὺ δὲ τῶν ἐκβαλόντων, αὐτὸς χρησιμώτερος τῇ πόλει· καὶ ταῦτα δῆλον, οὐκ ἀλκιβιάδου καὶ σωκράτους χάριν μᾶλλον, ἢ ὑμῶν, καὶ τῆς ὑμετέρας, ὦ ἀθηναῖοι, δόξης. δεῖ γὰρ ὑμᾶς οὐκ ἀσεβεῖ διηλλάχθαι δοκεῖν· ἀλλὰ τὸν οὐδὲν ἠδικηκότα δεδέχθαι. ἵνα δὲ ὅσον περίεστι τῷ νυνὶ κρινομένῳ τῶν δικαίων, ἔτ᾽ ἄμεινον μάθητε· ἔστω μὲν αλκιβιάδης, μηδὲν κριτίου βελτίων· ἔστω δὲ σωκράτης διδάσκαλος, ὁ μηδαμοῦ μηδὲν ὑποσχόμενος[77]. ἐξεταζέσθω δὲ παρ᾽ ὑμῶν, εἴ τις[78] τῶν οὐκ ἐθελησάντων, ἢ μὴ δυνηθέντων γε μαθεῖν κακίας, ὁ διδάξαι γε βουληθεὶς, ὑπεύθυνος. εἰ γὰρ ὁ μὲν ἔλεγεν ἃ ποιοῦσιν ἂν συνήνεγκεν· ὁ δὲ οὐ προσεῖχε τὸν νοῦν[79], ἑτέρων αὐτοῖς ἀρεσκόντων· τί δεῖ σωκράτην ἀντ᾽ ἐκείνων μισεῖν· ὥσπερ ἄν τις γεωργὸν, μηδὲν παραλιπόντα τῶν περὶ τὴν γῆν πόνων, ἀλλὰ καὶ χερσὶ καὶ σκεύεσι, καὶ βουσὶ, καὶ σπέρμασι τῷ περὶ ταῦτα νόμῳ χρησάμενον· ἔπειτα μηδ᾽ ὁτιοῦν παρ᾽ αὐτῆς κεκομισμένον, οὐκ οὔσης ἀγαθῆς, αἴτιον τοῦ συμβάντος ἡγοῖτο· ἀλλ᾽

ἔτοι-

[74] num ἀπέδωκε restituit? ille vero, homo pessimus, scilicet e praedicatione inimicorum, mysteriis vetustam viam, h. e. sanctimoniam, auctoritatem, rationem habendi, ritus, restituit.

[75] ne commemorem tot victorias Olympicas, ab Alcibiade bigisque et quadrigis partas in ludis Olympicis, vnde ad vestram ciuitatem gloria rediit.

[67] κἂν τοῖς δευτέροις] in iis, quae post reditum ab exsilio in patriam gessit, reconciliatus reip. et denuo copiis eius praefectus imperator.

[77] qui nunquam se magistrum vllius doctrinae ad hominum quemquam professus est.

[78] τις] imo vero τῆς. cohaeret enim cum κακίας.

[79] οἱ δὲ οὐ προσεῖχον τ. ν. (in plurali) Critias puta et Alcibiades.

ἕτοιμον αὐτῷ καὶ περὶ τῆς αὐτοῦ διεξελθεῖν τέχνης, καὶ δεῖξαι τὴν γῆν. ὁρῶμεν δὲ κᾀν ταῖς ἄλλαις τέχναις, τοὺς μὲν παριόντας τὸν διδάσκαλον· τοὺς δὲ πρὸς ἴσον ἐρχομένους τὸν δὲ ἔλαττον λαμβάνοντα. τὸν δὲ, οὐδ᾽ ὁ τιοῦν· ἐντεῦθεν σκυτοτόμος ἀμείνων [80], καὶ τέκτων τέκτονος· κᾀν τοῖς ἄλλοις ἕτερος ἑτέρου, τῶν αὐτῶν τετυχηκότες διδασκάλων· ἐστι γὰρ, ὦ θεοὶ, βιαιότερον, καὶ μᾶλλον ἰσχυρὸν, μαθήσεως φύσις· ὅταν ἦν πονηρὰ, καθέλκει πρὸς ἑαυτὸν [81], καὶ πᾶσαν παίδευσιν ἀπέφηνε μάταιον. εἰ δὲ μὴ τοῦτο τριστὸν ἦν, ἐν ἅπασιν ἂν τοῖς ὁμοτέχνοις τὸ ἴσον τῆς ἐπιστήμης ἔκειτο. εἰ δὲ τῆς φύσεως πανταχοῦ τὸ κράτος ἐχούσης, οὐχ οὕτω τοῖς ἀνθρώποις ἐδόκει, ἀλλ᾽ ἐν ταῖς τῶν φοιτητῶν ἀπειρίαις τοὺς διδασκάλους ἐκόλαζον. καταλέλυνται τέχναι, μηδενὸς τολμῶντος διδάσκειν, ἐπὶ τῷ κακῶς παθεῖν. ἀλλ᾽ οἶμαι τοῖς μὲν διδασκάλοις, πανταχοῦ χάρις ὀφείλεται· τῶν προσιόντων δὲ τὸ μαθεῖν ἔγκλημα [82]. καὶ μὴν τούς γε νομοθέτας οὐδὲν ἕτερον ἢ διδασκάλους πάντες ἄνθρωποι νομίζουσιν· οὐ μιᾶς τινὸς ἡλικίας· οὐδὲ ἔθνους ἑνὸς, τῶν ἐν ταῖς πόλεσιν [83]. ἀλλ᾽ ὁμοίως μὲν νέων, ὁμοίως δὲ γερόντων. ἔτι δὲ ἀνδρῶν καὶ γυναικῶν· καὶ ἀστῶν καὶ ξένων, καὶ δούλων καὶ ἐλευθέρων· καὶ διὰ τοῦτο πρῶτοι τιμῶνται μετὰ τοὺς θεοὺς, ὅτι παρ᾽ αὐτῶν μεμαθήκαμεν ὅ, τι δεῖ ποιεῖν, ὧν τε ἀπέχεσθαι· ἀκούομεν δὲ οὐ ταῦτα μόνον· ἀλλὰ καὶ δωρεὰς καὶ ζημίας· ὧν αἱ μὲν ἕπονται τοῖς ἀπειθοῦσιν· αἱ δὲ, τοὺς ἐπιεικεῖς ἀμείβονται· ἀλλ᾽ ὅμως οὐδὲ τούτων ἀμφοτέρων ἐλπίδες ἀρκοῦσιν ἐκκόψαι πονηρίαν· ἀλλ᾽ οἱ μὲν ἀπειλοῦσιν. ἄνυτος δὲ ἀδικεῖ. οἱ δ᾽ ἐπαγγέλλονται [84]. μέλι-

τος

[80] σκυτοτύμος σκυτοτόμου ἀμείνων.

[81] ἑαυτὴν (in foem.) redit enim ad φύσις.

[82] τὸ μηδὲν μαθεῖν ἔγκλημα. vsi autem alicuius disciplina vbi nihil inde profecerint, ipsorum ea culpa est.

[83] τῶν ἐν ταῖς πόλεσιν] ἐθνῶν puta, vt sunt rei rusticae deditι, artifices, negotiatores, caussidici, honores gerentes etc.

[84] f. οἱ μὲν ἐπαγγέλλονται· leges quidem praemia promittunt praeclare se gerentibus.

τος δ' οὐκ ἐπιθυμεῖ τιμῆς, ἀλλ' αἱρεῖται μισθοῦ μᾶλλον συκοφαντεῖν, ἢ τῶν χρηστῶν νομισθεὶς θαυμασθῆναι [85]. τελ. μωμένων οὖν τῶν ἀδικημάτων ἁπάντων μετὰ τοὺς ιέμου: καὶ τὴν ἐπιζήμιον ἀπείθειαν κατεβόησε τις τοῦ σόλωνος, ἢ κακῶς εἶπε τὸν δράκοντα καὶ δεινὸν ποιησάμενος τὸ φθῆναι [86] τελευτήσαντας πρὸ τοῦ δοῦναι δίκην, ἐκέλευσεν ἀχρήστους νομίζειν καὶ λυμεῶνας; οὐδείς. ἀλλὰ τοὺς μὲν σωτῆρας νομίζομεν, τοὺς δὲ παρανοοῦντας κολάζομεν. τί δ' ἂν τις εἴποι περὶ τῶν πολὺ φοβερωτέρων διδασκάλων ὑμῶν ὦ ἀθηναῖοι [87], τῶν δικαζόντων, οἳ οὐ λόγῳ συμβουλεύετε τὰ δίκαια ποιεῖν, ἀλλ' ἔργῳ, δυμευοντες, ἐξελαύνοντες, τοῖς ἕνδεκα παραδιδόντες ἐπὶ θανάτῳ, οὐδὲν [88] οὔτε τοὺς πονηροὺς ἔπαυσεν ἀδικοῦντας, οὔθ' ὑμᾶς καταγιγνώσκοντας. ἀλλ' οἱ μὲν τήμερον ἀποθνήσκουσιν, οἱ δὲ τῆς ὑστεραίας ἐπὶ τοῖς αὐτοῖς ἁλίσκονται. καὶ οὐδὲν μήποθ' εὕρῃ νομοθέτης εἰς τιμωρίαν οὕτω πικρὸν, ὃ ποιήσει πάντας δικαίους. εἶτα τῶν ἐν τοῖς δικαστηρίοις κινδύνων ἐξεληλεγμένων καὶ τῆς κακίας τολμᾶν ἐπισταμένης, εἰ μὴ σωκράτης ἀπὸ τῶν ἐν λυκείῳ λόγων ἅπαντας ἁπλοῦς ἐποίησεν εἶναι, ἀδικεῖ, καὶ τοὺς μὲν οἰκέτας, ἐφ' οἷς οὐδὲν δεῖ δικαστηρίου καὶ γραφῆς, ἀλλ' ἐξουσία [89], τοῖς δεσπόταις, μύλωνος, πεδῶν, μαστίγων, στίξαι, στρεβλῶσαι, τούτους μὲν, ἂν ὦσι πονηροὶ, οὐκ ἂν μεταβάλοιμεν τοῖς αἰκισμοῖς, τῶν δ' ἐλευθέρων καὶ φρόνημα παρὰ τῆς εὐγενείας ἐχόντων δεσπότης ἦν ἀκριβέστερος σωκράτης, ἢ τῶν ἀργυρωνήτων ὑμεῖς; κριτίας ἐλύπησε τὸν δῆμον; καὶ γὰρ σωκράτην [90]. ὑμᾶς ἀφείλετο τὴν

παρ-

[85] τῶν χρηστῶν νομισθεὶς θαυμασθῆναι. ita integrat lacunam ed. Mor. Aug. primus hinc rurſus incipiens.

[86] τὸ φθῆναι] ſic Aug. recte. ὀφθῆναι Mor.

[87] ὦ ἀθηναῖοι] ſic Aug. ὦ θεοὶ Mor.

[88] f. ἀλλ' ὅμως οὐδέν.

[89] ἐξουσία recte Aug. et πεδῶν (a nom.) πέδη·) ἐξουσία et πέδων Mor.

[90] recte Aug. σωκράτην. ſcil. ἐλύπησεν ὁ κριτίας. Obiectio haec: atqui tamen Critias populo incommodauit. Recte

vero

παῤῥησίαν; καὶ γὰρ ἐκεῖνον τὰς εἰωθυίας συνουσίας. ἆρ᾽ οὖν ὑμῖν, εἰ μαθητὴς ἀκριβῶς ἦν σωκράτους καὶ τῶν ἐκείνου καὶ λόγων καὶ τρόπων λίαν ἐπιθυμητὴς, τοιούτους ἀποδοῦναι δοκεῖ τῷ διδασκάλῳ τοὺς μισθούς; καὶ παρελέσθαι τοῦ βίου τὴν τάξιν, ἐν ᾗ τοσοῦτον ἐβεβιώκει χρόνον; καὶ ὁ μὲν κακῶς λέγειν [91] τὴν ἀρχὴν, ὁ δὲ οἷς μάλιστα λυπήσειν [92] ἔμελλεν, ἐπιτάξειν; ἀλλ᾽ οὐκ ἂν ὁ μὲν τὴν ὠμότητα θαυμάζειν, εἴπερ ταύτην ἐδίδασκεν, ὁ δὲ ἀντιτιμᾶν τοὺς παρασκευάσαντας [93]; τοὺς γε τοι [94] παιδοτρίβας ἴσμεν ἐν τοῖς στεφάνοις τῶν ἀθλητῶν, οὔτ᾽ ἀχθομένους πρὸς αὐτοὺς, οὔθ᾽ ὑβριζομένους ὑπ᾽ αὐτῶν. ἀλλ᾽ ἄμφω συνηδομένους ἀλλήλοις· σωκράτης δὲ οὕτως ἦν ἄτοπος, ὥσθ᾽ ὁρῶν αὐτοῦ τὴν σπουδὴν τετελεσμένην, καὶ τοὺς νόμους [95] ἀσθενεῖς, καὶ τὸν δῆμον οὐδαμοῦ, καὶ κριτίαν τύραννον, ἔψεγεν [96] ἀρχὴν, ἣν ἀποῦσαν ἐζήτει, καὶ κινδυνεύειν ᾑρεῖτο μᾶλλον ἢ τοῖς ἐκείνῳ δοκοῦσιν ὑπηρετεῖν; σὺ δὲ, ἀλκιβιάδην μὲν καὶ κριτίαν λέγεις, πολλοὺς δὲ χρηστοὺς παραλείπεις, ὧν, εἰ καὶ τῶν κοινῶν ἀφεστᾶσιν [97], ἔστιν ὅμως ἀγάσθαι τῶν τρόπων. ἐπεὶ κἂν τοῖς ἰδίοις γένοιτ᾽ ἂν ἀπόδειξις ἀρετῆς. τί γὰρ ἂν σὺ καταγνοίης πλάτωνος; τί δ᾽ ἂν κρίτωνος; τί δ᾽ αἰσχίνου; τί χαιρεφῶντος; τί μυρίων ἑτέρων; ποίας οὗτοι φιλίας προὔδοσαν; ποίοις πολεμίοις συνεύξαντο; τίνας νόμους ἀνεῖλον; τίνας τυράννους κατέ-

vero ais. verum etiam magistro suo, Socrati, idem Critias incommodauit. Vos priuauit libertate loquendi ex animi vestri sententia? Etiam Socrati interdixit solitis congressibus cum familiaribus. σωκράτης Mor.

[91] λέγειν, ἐπιτάξειν, θαυμάζειν (vt recte dat A.) et ἀντιτιμᾶν] pendent hi infinitiui e δοκεῖ paulo ante. θαυμάσειεν Mor.

[92] recte Aug. λυπήσειν per quae magistratus maxime cruciaturus sibi videretur Critias. λυπήσειεν Mor.

[93] παρασκευάσαντας] scil. ἐκυτὸν ὠμὸν, aut ἑαυτῷ τὴν ὠμότητα.

[94] τοὺς γέ τοι] sic Aug. τοὺς γε τοὺς Mor.

[95] τοὺς νόμους] sic Aug. τοὺς ἀνόμους Mor.

[96] ἔψεγεν] sic Aug. ἔλεγεν Mor.

[97] ἀφεστᾶσι] sic Aug. ἐφεσ. Mor.

[17] καὶ] subaudi συγγνώμονας εἶναι.

[18] εἰ μηδὲ] εἰ μὴ Bauar.

[19] κομίζεται] sic Bav. et margo Morell. cum γρ. textum dat κομίσεται.

[20] ὅτῳ] subaudi κτήματι.

πει τὸν χρόνον. βασιλεία δὲ τοσούτῳ πλέον τῶν ἄλλων δικαίαν ἐσχηκέναι τὴν ἀρχὴν βούλεται, ὅσῳ μεγέθει τε καὶ τύχης ὑπερβολῇ τὸν φθόνον ἐπισπωμένη ἐπ᾽ ἀσφαλεςέρας ἐθέλει τῆς κρηπῖδος βεβηκέναι. οὕτω δὲ τούτων ἐχόντων, πλέον ἄξιον θαυμάσαι τῆς παρούσης ἀρχῆς τὴν δικαιοσύνην, ἢ τὸ μέγεθος. οὐ γὰρ τοὺς κεκτημένους ἐκβαλόντες εἰς ἀλλότριον κλῆρον ἐνέβησαν. οὐδ᾽ αὖ τὸ πλῆθος θεραπεύσαντες, ἐώνηνται τὸ σχῆμα, καθάπερ τι τῶν ἐξ ἀγορᾶς ὠνίων. ἀλλ᾽ ὥσπερ οἱ καθ᾽ ἕκαςον πατρῴας καὶ παππῴας κληρονομοῦσιν οὐσίας, νόμῳ πρὸς τοῦτο καλούμενοι. οὕτω καὶ τούτοις ἄνωθεν ἐκ τριγονίας ἡ βασιλεία προσήκουσα [21]. εἰ μὲν οὖν [22] ἐπὶ τὸν προπάτορα τὸν λόγον ἀνάγοιμεν, καὶ τὸν τρόπον ἐξετάζοιμεν, καθ᾽ ὃν ἐπέβη τοῦ πράγματος, οὐχ εὑρεῖν τι πρὸς σεμνότητα φέρον χαλεπὸν, ἀλλὰ μᾶλλον χρόνου τυχεῖν εἰς πλῆθος διηγημάτων. ἓν δ᾽ οὖν εἰπὼν, ὃ μόνος δὴ τῶν ἔμπροσθεν ἔδειξεν, ἐπὶ τὸν ἐκείνου παῖδα, τῶνδε δὲ γονέα, μεταβήσομαι. οἱ μὲν γὰρ ἄλλοι πάντες οἱ κατ᾽ ἐκεῖνον δυναςεύοντες ζημίαν αὑτῶν ποιούμενοι τὸ τοὺς ὑπηκόους ἐν ἀφθόνοις διάγειν, μετῆγον τὰς ἐκείνων εὐπορίας εἰς τὰ βασίλεια, πέρας εὐδαιμονίας κρίνοντες εἰ ςενοχωροῖεν ταλάντοις τοὺς θησαυρούς. καὶ συνέβαινε τοὺς μὲν ἀφαιρεθέντας ἐν δάκρυσι καὶ πενίᾳ διαζῆν, τοῖς δὲ λαβοῦσιν ἀνόνητον κεῖσθαι τὸν πλοῦτον. ὁ δὲ πάντα ἄριςος ἐκεῖνος, πάντως που συγγενόμενος δημοσθένει, καὶ τὸν νόμον ἐκεῖθεν λαβὼν, ταμιεῖα μὲν ἀσφαλῆ τὰς τῶν κεκτημένων οἰκίας ἐνόμισεν· οὐδαμοῦ γὰρ ἂν ἐν καλλίονι σωθῆναι. καταλαμβανούσης δὲ δαπανημάτων ἀνάγκης, ἤρκει κηρύξαι τὴν χρείαν. καὶ πάντα ἦν χρημάτων μεςὰ, ἑκόντων

των

[21] προσήκουσα] potest ἐςι subaudiri. probabilius tamen mihi quidem est, excidisse ante, aut post hoc verbum, φαίνεται. constat, ipsorum esse imperium, ipsis conuenire, vt peculium.

[22] οὖν] in marginibus tam Morell. quam Bav. legitur γάρ.

των διδόντων τοῖς πέλας [23]. οὕτω τῷ μὲν ἑκουσίῳ τὸ φιλότιμον πρόσεστιν. ᾧ δὲ ἀνάγκη συνέζευκται, τοῦτο οὐκ εὐμενῶς ὑπακούειν πέφυκε. καὶ γάρ τοι ταύτῃ τῇ γνώμῃ χρησάμενος οὐ ταὐτὸν τοῖς ἄλλοις οὔτε ἔπαθεν, οὔτ' ἐποίησεν. οὐ γὰρ ἐπὶ μικρὸν χρόνον ταῖς τῶν ὑπηκόων συμφοραῖς εἰς ἡδονὴν ἀποχρησάμενος, ὑπὸ τῶν πεπιστευμένων ὕστερον ἀπεσφάττετο. ἀλλὰ τόν τ' ἄλλον χρόνον ταῖς τῶν ἀρχομένων εὐνοίαις ἐδορυφορεῖτο, καὶ τελευτῶντι τὴν βασιλείαν ὑπῆρξε τῷ παιδὶ παραδοῦναι. τοιαύτη τῆς θεοφιλοῦς ἀρχῆς ῥίζα καὶ καταβολὴ μετὰ τοῦ δικαίου παγεῖσα καὶ ὡς [24] ἂν ἥκιστα κινηθείη. ὃ δέ, καίπερ ἐπειγομένους κατέχει, καὶ σιωπηθὲν οὐκ ἔχει παραίτησιν, τοῦτο παρελθεῖν, ὥσπερ οὐ θεμιτὸν εἶναί μοι φαίνεται. ὄντων γὰρ αὐτῷ παίδων πλειόνων, εἶδε τὸν ἀκριβέστερον τῆς βασιλείας φύλακα. καὶ τὴν ἡσυχίαν ἐκείνοις ἐπιτάξας, ὃν ἐπιτηδειότερον ᾔδει, τοῦτον ἐπὶ τὴν ἀρχὴν ἐκάλει. πλείω τοῦ πράγματος ποιούμενος πρόνοιαν, ἢ ὅπως ἐπ' ἴσης οἱ παῖδες αὐτῷ κεκλήσονται. παραλαβὼν [25] τοίνυν τὰ πράγματα, γνώμῃ τε πατρικῇ καὶ θείῳ νεύματι, τὴν ὁμηρικὴν εὐχὴν ἐπλήρωσε, πᾶσιν, οἷς ἐβουλεύσατο καὶ κατέπραξε, τὸν γεννήτορα παραδραμών. καὶ τὸ μέγιστον. ὅσῳ γὰρ πλέον ἐνίκα, τοσούτῳ πλέον ἐκεῖνον ἐσέμνυνεν. ἡ γὰρ τοῦ παιδὸς νίκη τῆς ἐκείνου κρίσεως μαρτύριον καθίστατο. οὐ γὰρ ᾠήθη δεῖν καθήμενος τρυφᾷν, ἀλλ' εὐθὺς ἀπὸ γραμμῆς ἐνεργὸς ἐδείκνυτο, οὐδὲ τοὺς τοῦ πατρὸς πόνους εἰς οἰκείαν ῥᾳστώνην ἀνή-

[23] τοῖς πέλας] ad h. l. haec olim adſcripſeram. τ. π. delendum videtur, niſi forte in eo latet ταῖς ἀπειλαῖς, quod indicio ſit, deeſſe hanc ſententiam: ἃ πρότερον ἐκέκλειστο ταῖς ἀπειλαῖς, omnibus vltro dantibus ea, quae antea minis clauſa erant, h.e. quae vi et minis coacti negabant daturos, et recuſabant.

[24] καὶ ὡς] ſic Bav. et Mor. Ego nullus dubito, leg. eſſe καλῶς vno vocabulo.

[25] παραλαβὼν] Conſtantinus M. puta.

ἀνήλισκεν. ἀλλ' εἰ μὴ καὶ τῶν πόνων φανῆται[26] κληρονόμους, ἀδικήσειν ἐνόμιζεν. οὐδ' εἰ μή τις ἐπ' αὐτὸν ἔλθῃ[27], κέρδος ἔκρινεν ἡσυχίαν ἀπράγμονα, ἀλλ' εἰ μή τις[28] τοὺς ἀδίκως ἄρχοντας καθέλοι, κοινωνεῖν τῶν ἀδικημάτων ὑπελάμβανε ταῦτα πρὸς αὐτὸν εἰπὼν, καὶ τοιούτοις λογισμοῖς ἐπιῤῥώσας τὴν ἔμφυτον τόλμαν. ὁρῶν τὴν μεγάλην πόλιν λόγῳ μὲν ἀρχομένην, ἔργῳ δὲ ὑπὸ τοῦ κρατοῦντος[29] πορθουμένην, καὶ τὸν αὐτὸν ἄρχοντα καὶ πολέμιον, οὐκ ἤνεγκε. οὐδὲ ἀνεκτὸν ἐποιήσατο, ζῶντος αὐτοῦ καὶ τὸν ἥλιον ὁρῶντος, τὴν τῆς οἰκουμένης κορυφὴν ὑπὸ τυράννου βίας περιορᾶσθαι τηρουμένην. ἀλλ' εὐθὺς ὡς εἶχεν ἐνδὺς τὰ ὅπλα, πρῶτον πόλεμον ὑπὲρ τοῦ κεφαλαίου τῶν ὅλων ἤρατο, ἐν τοῖς αὐτοῦ κινδύνοις ἑτέροις λύων τὰς συμφοράς. ὃν μὲν οὖν τρόπον πρὸς τὰ τείχη προσιὼν[30] ἄκοντα τὸν τύραννον ἀνίστη, καὶ δειλίᾳ κρυπτόμενον ὑπ' ἀνάγκης ἐξῆγε. καὶ ὡς ἐκεῖνος συμπλέκεσθαι μὲν οὐκ ἐτόλμα, πανουργίᾳ δὲ μετῄει τὸν ἀγῶνα, καὶ τὸ τεταμένον ὑπὲρ τοῦ ποταμοῦ τέχνασμα[31], καὶ ὡς τὸ μηχάνημα, καθ' ὧν[32] μὲν εὑρέθη, τούτους οὐκ ἐλύπησε, τῷ δὲ συνθέντι πρὸς ὄλεθρον ἤρκεσε, καὶ περιεστήκει τὸ τῆς παροιμίας αὐτὸν τοῖς οἰκείοις βουλεύμασιν ἁλισκόμενον, ταῦτα πάντα καὶ ἔτι πλείω λογογράφοις τε καὶ ποιηταῖς ἱκανῶς ὕμνηται πάλαι. καὶ οὐκ ἂν εἰ σφόδρα βουλοίμεθα λέγειν, ἐπὶ τοῦ παρόντος χρόνος[33] ἐνδίδωσιν. ἀπαλλάξας δὲ τὴν μεγάλην πόλιν τῆς ἐπικειμέ-

[26] φανῆται] γρ. φανείη margo Morell. idem eſt in Bav. quoque.

[27] ἔλθῃ] ἔλθοι Bav.

[28] τις videtur delendum, et eius in locum aut nihil, aut καὶ ſufficiendum.

[29] κρατοῦντος] Maxentius is eſt.

[30] πρὸς τὰ τείχη προσιὼν] Verborum hic ordo eſt in Bav. in Mor. iſte προσιὼν πρὸς τὰ τείχη.

[31] τέχνασμα] pons futilis, ſeu facillimo negotio diſſolubilis,

[32] καθ' ὧν] ſic ♀ et Bav. καθ' ὃν Morell.

[33] χρόνος] γρ. χρόνου margo Morell. quod neſcio an praeſtet,

κειμένης νεφέλης καὶ παραχὼν ἀναπνεῦσαί ποτε. καὶ μετασήσας πρὸς εὐπάθειαν τὰ δυχερῆ, ὁρμηθεὶς ἀπὸ γενναίας οὕτω πράξεως, πάντα τὸν ἐν ἐκείνῃ [34] τόπον ἐπῆλθεν, ἀνακαθαιρόμενος γῆν τε καὶ θάλατταν. καὶ τὸ μὲν λυμαινόμενον ἐξορίζων ἅπαν, τὸ δὲ σωτήριον ἀντεισάγων πανταχῆ. καὶ τοῖς μὲν βαρβάροις πολεμῶν, τῷ δὲ τῶν ὁμοφύλων βασιλεῖ [35] τῶν ὑπαρχόντων οὐ φθονῶν. ἔνθα δὴ καὶ διπλῆς ἀρετῆς σημεῖον ἐξήνεγκεν. οὔτε γὰρ εἰρήνην ἐξὸν ἄγειν, πολεμεῖν ἐπεθύμησεν, οὔτε πολεμεῖν δεῆσαν ἀπώκνησεν. ἀλλ᾽ οὕτω καὶ πρὸς ἐκείνην εἶχεν ἀκριβῶς, καὶ πρὸς τοῦτον ἀνδρείως, ὥστε τὰς μὲν συνθήκας ἕτερος ἐκίνησε, τὸ δὲ τοῦ πολέμου κράτος ἐκεῖνος ἠνέγκατο. καί με μηδεὶς ἔξω τῶν καιρῶν ὑπολάβῃ [36] φέρεσθαι, μηδὲ κενὴν πεποιῆσθαι τὴν περὶ τὸν πατέρα διατριβήν. ἔδει γὰρ ἅπασι γενέσθαι φανερὸν, ὅτι μεγίστων παραδειγμάτων οἱ παῖδες οὐκ ἀπελείφθησαν. ὅσοι μὲν γὰρ ἐκ φαύλων γεγονότες ἢ παρῆλθον τοὺς φύσαντας, ἢ κατ᾽ οὐδὲν χείρους ἐφάνησαν, τούτους μὲν οὐκ ἔστιν ἐφ᾽ ὅτῳ τις ἂν ἀγασθείη. δεῖ γὰρ οὐδεμιᾶς πραγματείας πρὸς τὴν τοιαύτην ἅμιλλαν. οἷς δὲ γονέων ἔσηκεν οὐκ ἀγεννῆ παραδείγματα, τούτους, εἰ πλησίον ἐκείνων γένοιντο, μεθ᾽ ὑπερβολῆς θαυμαστέον ὅτι πρὸς τὴν τῶν ἀρίστων μίμησιν τὴν ἐπιμέλειαν ἐξέτειναν. μέλλων δ᾽ ἐπὶ τὰς εὐδαίμονας τῶν βασιλέων προβαίνειν γονὰς, ἔννοιάν τινα λαμβάνω ποιητῶν τε τινῶν καὶ τῶν ἐν ἱστορίαις ἀτόπων, καὶ σκοπῶν εὑρίσκω μύθοις μὲν καὶ τερατείαις κεκοσμημένους τοὺς ἐν τοῖς ἔμπροσθεν ᾀδομένους. λειπομένην δὲ ὅμως τὴν τῶν μύθων ἐξουσίαν τῆς ἐπὶ τοῖς παροῦσιν ἀληθείας. κῦρον μὲν τοίνυν οἱ σεμνύνοντες, ὄψιν ἐν τοῖς ὕπνοις

[34] ἐν ἐκείνῃ] dele praepositionem, ἐκείνῃ per se idem est, atque ἐκεῖ in Italia pura et Occidente. margo Morell. dat τὸν ἐκείνου τόπον. quod forte erunt, qui probent.

[35] βασιλεῖ] Licinio; ad quem etiam proximum ἕτερος redit.

[36] ὑπολάβῃ] ὑπολάβοι Bavar.

ὕπνοις ἀστυάγῃ γενέσθαι φασὶν ὡς ἐκ μανδάνης τῆς ἐσομένης κύρου μητρὸς, ἀναβλαστήσειέ τε ἄμπελος, καὶ τὴν ἀσίαν ἅπασαν ἐπιλάβοι. ὑπὲρ δὲ ἀλεξάνδρου τοῦ μακεδόνος αἰσχυνθέντες εἰ πατρὸς νομίζοιτο φιλίππου, δράκοντα συγκατακλίνουσι ὀλυμπιάδι, πρὸς ἔκπληξιν τῶν μειρακυλλίων τὴν συνουσίαν συμπλάσαντες. ὁ δὲ τῶν ἡμετέρων βασιλέων τόκος, οὐ μύθων, οὐδὲ ἐνυπνίων πρὸς κόσμον ἐδεήθη. ἀλλ᾽ ὥσπερ τὰ κάλλιστα τῶν σωμάτων οἴκοθεν κεκτημένα τὸ φαιδρὸν, οὐκ ἐφέλκεται τὴν ἔξωθεν ὤραν. οὕτως ἡ τῶνδε γένεσις πάντα ὑπερβᾶσα λόγον ἀλλόκοτον, αὐτὴ μόνη[37] πρὸς σεμνότητα κέκριται[38]. εἰ δέ τῳ μέγα δοκεῖ τὸ μετὰ συμβόλων γενέσθαι, δεξιῶν, καί τινες ἐρασταὶ τούτου τοῦ μέρους καθήμενοι περὶ πολλοῦ ποιήσαιντ᾽ ἂν ἀκροαταὶ καταστῆναι τῶν οἰωνισμάτων οἷς συνεξέδραμεν ὁ τόκος, οὐδὲ τούτους ζητοῦντας μᾶλλον, ὃ ποθοῦσιν, ἀφήσομεν, ἢ πληρώσαντας[39] τὸν πόθον. ἀνοίσω[40] δ᾽ οὐδὲν εἰς μυθολογίαν, εἰς ἀφανὲς ἀποφέρων τὸν λόγον. ἀλλ᾽ ἃ πάντες ἴσασιν ἐρῶ. προσέσται δέ τι τῷ προδήλῳ καὶ λαμπρότητος[41]. ἀεὶ μὲν γὰρ ὁ θειότατος τῶνδε πατὴρ πρὸς ἔργοις ἦν τάς τε χεῖρας καὶ τὸν λογισμόν. καὶ οὔτε ἡμέρας φανείσης, οὔτε νυκτὸς ἐπελθούσης, ἔχοι[42] τις ἂν εἰπεῖν, ὡς ἔληγεν ἢ συναμφοτέρων, ἢ πάντως γε θατέρου. καὶ μὴν οὐδ᾽ ἐκεῖνό γέ ἐστιν ἀντειπεῖν ὡς οὐχ ὁπόσα πράξειεν, ἢ βουλεύσαιτο, πάντα βασιλικῆς ἀρετῆς ἐπ᾽ ἔχατον ἦν ἥκοντα. εἰ τοίνυν περὶ τούτων οὕτω φρονεῖν ἄξιον, οὐκ ἔτ᾽ ἂν ἀκριβολογοίμεθα δικαίως, εἴ τις ἐν τοῖς χρόνοις, οἳ τούτους ἔφηναν, οἰωνὸς ἀμείνων τῶν ὠδίνων ἡγήσατο. ἀλλ᾽ ἁπλῶς ἔξεστιν εἰπεῖν, ὡς οὐκ ἐνῆν τικτομένων μὴ δεξιῶς ἔχοντα προδειχθῆ-

37 *αὐτὴ μόνη*] sic margo Morell. in cuius texto item in Bav. est *αὐτῇ μόνῃ*.

38 *κέκριται*] *κέχρηται* Bauar.

39 *πληρώσαντας*] nominatiuum — *τες* dant margo Mor. et Bav.

40 *ἀνοίσω*] sic Bauar, *ἀνήσω* Morell.

41 *τι τ. πρ. καὶ λαμπρότητος*] sic Bav. *τις τ. πρ. καὶ λαμπρότης* Morell.

42 *ἔχοι*] sic Bav. *ἔχει* Morell.

δειχθῆναι σημεῖα, εἴπερ ἅπας ἐφεξῆς ὁ χρόνος ἔγεμεν ἀγαθῶν συμβόλων. λέγω τοίνυν θαῤῥῶν, ὅτι λυομένης ἀρίστης ὠδῖνος καὶ τῆς προτέρας καὶ τῆς μετ᾽ ἐκείνην ἢ στρατόπεδον ἐπὶ νίκην ἐξῄει, ἢ στρατόπεδον [43] ἀπὸ νίκης ἀνέστρεφεν. ἢ σκυθῶν ἔθνος ἔπιπτεν, ἢ σαυρομάτων ὑπέκυπτεν. ἢ γένος ἕτερον βαρβαρικὸν ἐδωροφόρει. ἢ βασιλεὺς ὁ μέγας αὐτοχειρίᾳ τρόπαιοι ἵστη, ἢ χρημάτων ὄγκον ἐκ τῶν βασιλείων εἰς τοὺς ἀρχομένους ἐξέχει, ἢ δεσμωτηρίων χρόνιος συμφορὰ φιλανθρωπίᾳ τοῦ κρατοῦντος ἐλύετο. συνελόντι δὲ εἰπεῖν, ἢ λογισμὸς ὑπὲρ ἅπασαν ἀνθρωπίνην φύσιν ἐπὶ νοῦν ἤρχετο, ἢ τὸ βουλευθὲν [44] εἰς ἔργον ἤγετο. ταῦτα τίνος ἀμπέλου θαλλούσης ἐν ὀνείρασιν οὐκ ἀμείνω, τίνος ὀρνίθων πτήσεως οὐκ ἰσχυρότερα σημεῖα; τίνος δρακόντων φάσματος οὐκ ἀληθέστερα πρὸς πίστιν; ἐπεὶ δ᾽ οὖν ἐγένοντο καὶ προῆλθον εἰς φῶς, ἄξιοι μὲν τῆς τοῦ σπείραντος φύσεως, ἄξιοι δὲ τῆς κοινῆς ἐλπίδος, μή τοι [45] νομίσῃ τις ἀκούσεσθαι πηλίου κορυφὰς, καὶ κενταύρου σῶμα διφυὲς, καὶ τροφέα μισάνθρωπον καὶ τροφὴν ἐξηγριωμένην. ἃ [46] δὴ πλάσασα δωρεῖται τῷ παιδὶ τῆς θέτιδος ἡ ποίησις οὐκ ἔχουσα τὴν παρὰ τῷ πηλεῖ τροφὴν ἀποδεῖξαι ζηλωτήν. ἀλλ᾽ ἐτρέφοντο μὲν, οὗπερ ἐτέχθησαν, ἐν βασιλείοις, ὧν οὐδὲ τοῖς προπυλαίοις ὁ παραβάλλων τὸ χείρωνος ἄντρον σωφρονεῖ. εἷλκον δὲ μαστὸν οὐ λυκαίνης, οἷα καθ᾽ ἑτέρων ἤδη τινες ᾄδειν ἐτόλμησαν, ἀλλὰ πρέποντα βασιλικοῖς προσενεχθῆναι χείλεσιν, ὡς ἂν ἥμερον γένεσιν ἥμερος τροφὴ διαδέξαιτο. ἔφερε δὲ αὐτοὺς ὁ πατὴρ, ὁπότε τὴν ψυχὴν εἰς ἐκείνους τρέψειεν, οὐκ ἐπὶ θηρίου δορᾶς, ἀλλ᾽ ἐπ᾽ εὐδαίμονος ἁλουργίδος. ἴσως δ᾽ ἂν καὶ πλείω καὶ θειωδέστερα πρὸς βασιλικὴν

[43] ἢ στρατόπεδον] ſubaudi ἄλλο.

[44] βουλευθὲν] βουληθὲν Bauar. et margo Morell.

[45] μήτοι] ſic Bauar. et margo Morell. cum ἴσως. nam in texto eſt μή τι.

[46] ἃ] praetuli, cum in Bavarico reperirem quidem ὃ, quod Morellus dedit, ſed ei quoque ſuperſcriptum ἃ.

λικὴν συντελεῖ [47] τροφὴν, ὧν οἵ τε πλείονες [48] ἄπειροι, τοῖς τε ἐπιςαμένοις [49] ἐξειπεῖν οὐ θέμις, ὥσπερ τι τῶν ἀποῤῥήτων. διὸ δή μοι δοκεῖ καιρὸς εἶναι βαδίζειν ἐπὶ τὴν παιδείαν, ὥςε ἔχειν εἰδέναι πάντας, ὡς οὐκ αὐτομάτου φορᾷ τύχης τέλειοι τὴν ἀρχὴν ἀπέβησαν, ἀλλὰ, πρὸς ἣν πόῤῥωθεν ἀπηύθυνεν αὐτοὺς ὁδὸν ἡ μελέτη, ταύτην ἐπορεύθησαν. διπλῆ δὴ τῆς [50] παιδεύσεως ἰδέα τοῖς βασιλεῦσιν ἤσκησε τὰς ψυχάς. τῇ μὲν γὰρ πρὸς βασιλείας διοίκησιν, τοσούτου πράγματος, ἐῤῥυθμίζοντο. τῇ δὲ πρὸς δεινότητα λόγων καὶ ῥητορικῆς ἰσχὺν ἐπλάττοντο. ᾧ γὰρ θάτερον μὲν ὑπάρχει, θατέρου δὲ ἡ κτῆσις ἄπεςι, τούτῳ χωλεύειν τὴν ἀρετὴν ἀνάγκη, καθ᾽ ὁπότερον ἂν σπανίζοι. ὅ, τε γὰρ τὴν μὲν τῆς διοικήσεως μάθησιν ἔχων, τῆς δὲ τοῦ δύνασθαι λέγειν τέχνης ἐςερημένος, ἀγροικότερος ἀναφανεὶς βασιλεὺς, τὴν μὲν ἀρχὴν ἰθύνειν οὐκ ἀδυνατεῖ. τὸ δὲ μετὰ χαρίτων οὐκ ἔχει. ὁ δὲ λόγοις μὲν εἰς ἄκρον ὁμιλήσας, τὴν δὲ τοῦ μείζονος πράγματος ἐπιςήμην οὐ λαβὼν, ὁ τοιοῦτος [51] ςωμύλος ἀποφανθεὶς εἰς μὲν ἀγοραίων κομψότητα τὸ σεμνὸν τῆς βασιλείας κατάγει, τοῦ δὲ ἐκείνῃ προσήκοντος μεγέθους ἀπελήλαται ποῤῥωτάτω. ἀλλ᾽ οἵ γε ἡμέτεροι βασιλεῖς ἄμφω δεξιοὶ κατὰ τὴν τέχνην [52], λόγων μὲν [53] τῶν [54] ῥωμαίοις προσηκόντων ἡγεμόνας ἐπαγόμενοι [55] τοὺς ἀρίςους τῶν τότε, βασιλικῆς δ᾽ ἐπιςήμης οὐ ζητή-

[47] συντελεῖ] συντελοίη Bav.
[48] πλείονες] πλέονες Bav.
[49] ἐπιςαμένοις] videtur οὐκ eſſe praeponendum.
[50] δὴ τῆς] Bauar. δή τις. forte vtrumque eſt copulandum, vt ſit διπλὴ δή τις τῆς π.
[51] ὁ τοιοῦτος] ſic Bav. et ὅτι οὗτος Morell.
[52] τέχνην] ſic nude et ſimpliciter rhetorica, vel eloquentia appellatur.
[53] λόγων μὲν] ſic iacent verba in libris. mihi videtur μὲν a loco ſuo aberaſſe, et ſic eſſe leg. κατὰ μὲν τὴν τέχνην λόγων τῶν ῥωμ.
[54] τῶν] ſic Bav. τοῖς Morell.
[55] ἐπαγόμενοι] in aor. 2. cum ad ſe donis et penſionum largitate allicuiſſent. fuit cum ſuſpicarer, leg. eſſe πεπαμένοι nacti, adepti, quod verbum eſſe poeticum quidem, verumtamen

ζητήσαντες διδάσκαλον, ἀλλ᾽ ἐγγύθεν ἔχοντες αὐτὸν τὸν φυτεύσαντα. ὃς οὔτε φθόνῳ κρύψειν ἔμελλε τῆς ἐπιστήμης τὰ καίρια. τὸ γὰρ τῆς φύσεως οἰκεῖον τοῦ νοσήματος ἰσχυρότερον. οὔτ᾽ ἀπειρίᾳ βλάψειν τοὺς ἀγομένους. οὐδεὶς γὰρ πορρωτέρω τῆς βασιλικῆς ἐμπειρίας ἤλασεν. οἱ μὲν οὖν πολλοὶ μέτρον ἡγοῦνται τῆς εἰς τοῦτο φερούσης μαθήσεως [56] ἵππον τε ἀναβῆναι, καὶ τόξον ἐντεῖναι, καὶ βέλει σκοποῦ τυχεῖν, καὶ ξίφει πλῆξαι, καὶ πρὸς δόρατος ἄφεσιν ἀρκοῦσαι παρασχέσθαι τὴν δεξιὰν, καὶ πρὸς κρυμοὺς διακαρτερῆσαι, καὶ πρὸς θάλπους ὑπερβολὴν μηδαμῶς ἀπειπεῖν. ἔστι δὲ καὶ τούτων μὲν οὐ μικρὰ πρὸς βασιλικὴν διδαχὴν ἡ συντέλεια. τοῖς δ᾽ οὐχ οὗτος ἦν ὅρος τῆς παιδείας. ἀλλ᾽ ἦν μὲν καὶ ταῦτα τῶν ἐγκυκλίων ἀσκημάτων, προσῆν δὲ μέρος ἕτερον πολὺ τούτων ἐντιμότερον. ἐπειδὰν γὰρ λήξαιεν τῶν περὶ ταῦτα γυμνασιῶν, ἐρρύθμιζεν αὐτοῖς ὑποθήκαις ὁ πατὴρ τὰς ψυχάς. δικαιοσύνην εἰσάγων. ἀδικίᾳ χώραν οὐ διδούς. θυμοῦ καιρὸν καὶ πρᾳότητος διορίζων, τί μὲν δεσποτεία λέγων, τί δὲ βασιλεία δεικνύς. καὶ ὡς ὁ ζητῶν ἐκείνην, τήνδε ἀπολώλεκεν. οὐδεὶς δ᾽ ἂν ἐφίκοιτο τῆς ἀκριβείας, ᾗ τοὺς παῖδας ἐφ᾽ ἑκάστης ἡρμοττεν ἡμέρας. ὃ δὲ μάλιστα ἀγασθεὶς τῆς παιδείας ἐκείνης ἔχω, τοῦτο ἐρῶ. ἐμβιβάσας γὰρ αὐτοὺς εἰς τὸ προοίμιον τῆς βασιλείας, νέους ὄντας κομιδῆ, καὶ μετενεγκὼν ἐκ τῆς τῶν ἰδιωτῶν τάξεως, οὕτως ἤσκει τὰ βασιλικά. ᾔδει γὰρ ὅτι μεγαλοφροσύνη μὲν οἰκειότατον τῷ πράγματι, καὶ ἄνευ ταύτης τὸ πλέον τῆς λαμπρότητος οἴχεται. ἐκ δὲ τῶν ἐπιτηδευμάτων,

ὁποῖ

men a Xenophonte frequentatum inter omnes constat.

[56] τῆς εἰς τοῦτο φερούσης μαθήσεως] redit τοῦτο ad id quod loci huius situs et argumentum satis lectori cuique subiicit. scil. τὸ ἔμπειρον εἶναι τῆς βασιλικῆς ἐπιστήμης. In margine Morell. proponitur haec varians lectio. μάθησις διοικήσεως. vnde colligi possit, in libris quibusdam sic olim prostitisse exaratum, τῆς εἰς ταύτην φερούσης τὴν μάθησιν, τὴν τῆς βασιλικῆς διοικήσεως.

ὁποῖ' ἄττα ἂν ᾖ, τὸ φρόνημα τοῖς ἀνθρώποις ἐμφύεται. ἐβούλετο δὴ τοῖς σεμνοτέροις ἐθήμασί τε καὶ ἐπιτηδεύμασιν ἐκ νεότητος συζῶντας, ἀμαθεῖς γενέσθαι μικρότητος. ὥστε ταπεινῷ μὲν ἢ φαύλῳ μηδενὶ προσάγειν τὸν λογισμόν. ὅ, τι δὲ βουλεύσαιντο, τοῦτο πρὸς μέγεθος βλέπειν. ταῖς γὰρ τῶν νέων οἶμαι ψυχαῖς ἁπαλωτέραις οὔσαις ὅ, τι ἂν προσενέγκῃς μάθημα, ῥαδίως ἱδρύεται, καὶ παγὲν τὴν πρώτην, ἀμετάστατον μένει. καὶ οὔτε ὁ τῶν σεμνοτέρων ἐθάς, εἰ δυσχερείᾳ χρήσαιτο, πρὸς τὴν ἀκαιρίαν ἐκπλαγεὶς ἐκβάλλει τὸ φρόνημα, οὔτε ὁ ταπεινότητι σύντροφος, πρὸς τὰ μείζω καλούμενος, ἐξισοῖ τὴν γνώμην τοῖς πράγμασιν. ἀλλ' ἐν τοῖς ὅροις μένων τῆς παλαιᾶς συνηθείας, ἔοικεν ἀποσειομένῳ τὸ μέγεθος, ἐλάττων ὢν ἢ φέρειν. ταῦτα δὴ καλῶς ἐξετάσας, καὶ καταμαθὼν ἀκριβῶς τροφῆς τε καὶ παιδείας τὴν δύναμιν, καὶ βουληθεὶς τοὺς παῖδας οὐκ ἐν φαυλοτέροις τὰ μείζω λαμβάνειν, ἀλλ' ἐν ἀμείνονι σχήματι τὰ σεμνότερα μανθάνειν, περιβάλλει μὲν αὐτοὺς ἐθήματι βασιλείας συμβόλῳ, κηρύττει δὲ κήρυγμα καὶ τοῖς μαχίμοις, καὶ ταῖς πόλεσιν, ὅτι παρῆλθον εἰς τὴν ἀρχὴν ἐκείνου νεύματι, καὶ χρὴ καὶ τούσδε προσκυνεῖν. ταῦτα δὴ προτελέσας, ποιεῖ μὲν αὐτοῖς στρατόπεδα καὶ θεραπείαν, καὶ ὦτα δὴ καὶ ὀφθαλμοὺς, πανταχῇ τὸ μίμημα πρὸς τὸ ἀρχέτυπον διασώζων. δίδωσι δὲ προσηγορίαν, τῆς μὲν ἔμπροσθεν ἀμείνω, τῆς δ' αὐτοῦ δευτέραν. ἔστι γὰρ, ὡς ἂν εἴποι τις, καὶ βασιλείας τάξις τελεωτέρα. καὶ τοῦτο εἰκότως οὕτως ἐποίησεν. οὔτε γὰρ ἐν ἰδιώταις ἀφῆκε μένειν. οὔτ' εὐθὺς ἐπὶ τὸ ἄκρον προήγαγε, τοῦ μὲν τὸ ταπεινὸν φοβηθεὶς, τοῦ δὲ τὸ ὑπερβάλλον. εἴ τε γὰρ εἰς ἰδιώτας τελεῖν ἀφεὶς, οὕτω παιδεύειν ἐπεχείρει, ἀθυμότερον ἂν ἐδέχοντο τὴν μάθησιν, τιμῆς οὐ παρούσης. εἴ τ' εὐθὺς ἀπ' ἀρχῆς ἐπὶ τὴν κορυφὴν εἶγε τῆς ἐξουσίας, ῥαθυμότερον ἂν πρὸς τὰς μελέτας διέκειντο, τὸ πᾶν ἤδη κεκτημένοι. ὁ δὲ τὸ προσῆκον αὐτοῖς

ἀπο-

ἀποτεμόμενος μέτρον, ὃ [57] μετὰ φρονήματος ἔμελλεν ἐπιμελείας ἔρωτα παρέξειν, ἕτερον μεῖζον προσέθηκεν. οὐ γὰρ εὐθὺς ἐξέπεμψεν ἑτέρωσε [58] μετὰ τῶν δυνάμεων, ἔξω τῶν ὀφθαλμῶν ἑαυτοῦ τὰς διατριβὰς αὐτοῖς ποιῶν, ἀλλὰ κατέχων ἐποπτεύειν ἠξίου τὰ δρώμενα, κατὰ τοὺς κοινοὺς τῆς κυβερνητικῆς διδασκάλους, οἱ τοὺς ἄρτι τῆς τέχνης ἁπτομένους ἐπὶ τῶν οἰάκων καθίσαντες, ἐν τῇ πρύμνῃ προσεδρεύουσιν. ἵν᾽ εἰ μὲν κατὰ λόγον ἰθύνοιεν ἐκεῖνοι τὸ σκάφος, συγχαίρωσιν. εἰ δέ τι γίνοιτο πλημμελὲς, ἐγγύθεν ἐπιβοηθοῖεν [59]. ἐπεὶ δ᾽ οὖν ἐδόκουν τῆς πρὸς αὐτὸν συνουσίας ἀπολελαυκέναι τὰ γιγνόμενα [60], καθάπερ τις ἀετὸς τοὺς νεοττοὺς εἰς πτῆσιν γυμνάζων, οὕτως ἤδη δυνάμεις παραδοὺς ἐξέπεμπε. τὸν μὲν τῆς ἑῴας, τὸν δὲ τῆς ἑσπέρας προβαλλόμενος. καὶ τοῦτο ἔπραττε τριῶν τῶν μεγίστων εἵνεκα. πρῶτον μὲν γὰρ τοὺς ἐφ᾽ ἑκάτερα κατῳκισμένους βαρβάρους ἐβούλετο τῷ φόβῳ τῶν ἐφεστηκότων πρὸς ἀνάγκην κατείργεσθαι. ἀσφάλειαν οὖν ᾤετο παντὶ πορίειν [61], εἰ τὰ πέρατα τῆς ἀρχῆς ὀχυρώσαιτο [62]. δεύτερον δὲ οὐχ ἡγεῖτο καλῶς ἔχειν ἐν ἀδείᾳ μέσῃ τοὺς παῖδας διάγοντας ἀμελετήτους εἶναι τῆς πολεμικῆς φροντίδος, ἀλλ᾽ ἔχειν ὅ, τι καὶ μεριμνήσωσι [63]. τρίτον δὲ καὶ [64] μέγιστον. ᾔδει γὰρ κατὰ τὴν ἀπόστασιν ἀκριβεστέραν τὴν δοκιμασίαν ληψόμενος. ὅσα μὲν γὰρ ἐν τῷ μετ᾽ ἐκείνου συνδιατρίβειν ἐπράττετο, οὐ τῆς τῶν σωφρονούντων ἡγεῖτο γνώμης, ἢ τῆς τοῦ

συνει-

57 μέτρον, ὃ] inuertunt haec vocabula Bav. et margo Mor.

58 ἑτέρωσε] sic ♀ et Bav. ἑτέρων Morell.

59 ἐπιβοηθοῖεν] sic Bav. ἐπιβοηθῶεν Morell.

60 τὰ γιγνόμενα] quantum satis esset, et quantum oporteret, pro cuiusque aetate et facultate, et pro patris consilio. articulum omittunt Bav. et margo Morell.

61 πορίειν] γρ. ποιεῖν margo Morell.

62 ὀχυρώσαιτο] sic Bauar. ὠχυρώσαντο Morell.

63 μεριμνήσωσι] μεριμνήσουσι Bav.

64 τρίτον δὲ καὶ] interponit Bauar. ὁ ante καί.

συνεῖναι μᾶλλον ἀνάγκης εἶναι. εἰ δὲ καὶ καθ' αὑτοὺς [65] γενόμενοι, καὶ τὴν ἐκ τοῦ χωρισμοῦ προσλαβόντες ἐλευθερίαν, τὴν ἴσην ποιήσαιντο τῆς τάξεως φυλακὴν, ἴσως ἤδη τῆς φύσεως ἡγεῖτο τὴν σωφροσύνην ἔσεσθαι, καὶ κρείττονας φανεῖσθαι τῆς παροιμίας, ἢ τοῖς ὀφθαλμοῖς ὁρίζειν τὴν αἰδῶ βούλεται. ὁ μὲν δὴ τούτοις τοῖς λογισμοῖς ἐξέπεμπεν. οἱ δὲ πόθῳ μὲν τοῦ πατρὸς μένειν ἐπεθύμουν, τῷ δὲ μὴ τολμᾶν ἀντιτείνειν, οἷ βαδίζειν ἐχρῆν ἠπείγοντο. ἐπεὶ δὲ κατέλαβον τοὺς δεδομένους χώρους, ἀμείνω πάσης εὐχῆς τὴν πεῖραν παρείχοντο, τοῖς μὲν δεξαμένοις ἔθνεσιν ἀντὶ πατέρων φανέντες, τὸν δ' ἐκπέμψαντα πανταχῆ σεμνότερον ἀποφήναντες, ἃ μὲν ἐτύγχανον εἰδότες ταῖς μελέταις βεβαιωσάμενοι, ἃ δὲ προσλαβεῖν ἔδει, ταῖς ἐμπειρίαις κτησάμενοι. τῷ μὲν χρόνῳ τῆς ἡλικίας εἰς παῖδας τελοῦντες ἔτι, τῷ δὲ τῆς συνέσεως ὀξυτέρῳ τοῖς πρεσβυτέροις ἁμιλλώμενοι, παντὸς μὲν ἄμεινον τὸ πρακτέον ἀνευρίσκοντες, οὐδὲν δὲ, ὧν γνοῖεν, ἐπιτελοῦντες πρὶν κοινῶσαι τῷ γεννήτορι, τῶν μὲν οἰκείων βουλευμάτων ἐκεῖνον κριτὴν ποιούμενοι, τῶν δ' ἐκείνου δογμάτων αὑτοὺς διακόνους ἀποφαίνοντες. πολλὴν μὲν ἐξουσίαν κεκτημένοι, ἥκιστα δὲ ταῖς ἐξουσίαις καταχρώμενοι. τὰς μὲν ἡδονὰς τῇ σωφροσύνῃ νικῶντες, τὰ δὲ σώματα τοῖς γυμνασίοις ἐπιῤῥωννύντες. οὐ μᾶλλον ἐπ' αὐτοῖς, ἢ τοῖς τρόποις, τῷ πατρὶ μεγαλαυχεῖσθαι παρέχοντες. πολλῇ μὲν ἠπείρῳ τοῦ φύσαντος διειργόμενοι, πᾶσι δὲ τοῖς πραττομένοις παρεῖναι τὸν πατέρα νομίζοντες. καίτοι ταῦτα τῷ μὲν ἁπλῶς σκοποῦντι κόσμος τῶν εἰργασμένων μόνον καθίσταται, τὸ δ' ἀληθὲς, κοινὴ τῶν εἰργασμένων καὶ τοῦ κρίναντος εὔκλεια γίνεται. οἱ μὲν γὰρ τῇ τῶν ἔργων ἀποδείξει κοσμοῦνται, τῷ δὲ προσηκόντως ἑλομένῳ κρίσεως ὀρθῆς δόξα περιγίνεται, καὶ συμβαίνει δι' ἀλλήλων εὐδοκιμεῖν ἀμφοτέρους, τοὺς μὲν

παρὰ

65 καὶ καθ' αὑτοὺς] addidi copulam e Bauar.

παρὰ τοῦ μεγίσου βασιλέως τὴν ψῆφον ἔχοντας, τὸν δὲ [66], τῇ τῶν αἱρεθέντων ἀρετῇ βεβαιουμένης τῆς ψήφου. ἀεὶ μὲν οὖν ἔγωγε τῆς παρούσης βασιλείας τὸ πηδάλιον ἐν τῇ τοῦ κρείττονος ᾠήθην ἐγκεῖσθαι χειρὶ, καὶ τούτου μὲν τὴν ἀπόδειξιν πολλὰ πολλαχόθεν ἐπιῤῥέοντα παρεῖχεν. οἶμαι δὲ, εἰ καὶ μηδὲν ἦν ἕτερον, ὃ ταύτην παρίση [67] τὴν δόξαν, ὅ γε μέλλω φράσειν, πάντως ἂν ἐπὶ ταύτην ἀγαγεῖν τὴν γνώμην. ἐπεὶ γὰρ, ὅσον ἐδόκει τῷ κρείττονι, τὴν οἰκουμένην ὁ τῶνδε πατὴρ ἰθύνας αὐθις ἀπῆλθε, συνεσόμενος τῷ τῇδε καταπέμψαντι, τοσούτου πράγματος συμβάντος, οὐκ ἐκινήθη τὰ τῆς βασιλείας, οὐδὲ μετέςησε τοὺς κληρονόμους τῆς ἀρχῆς τῶν συμβάντων οὐδέν. ἀλλ᾽ ἔμεινε μὲν ἐπὶ τῆς ἴσης τάξεως, ἔμεινε δ᾽ οὐ χωρὶς πραγματείας, οὐδ᾽ ἄνευ τοῦ χρήσασθαι ταῖς χερσὶ τοὺς διαδεξαμένους εἰς τὸ κατασχεῖν βεβαίως τὰ δοθέντα. ἀμφοτέρων δὴ τούτων ἔγωγε συνήδομαι τοῖς βασιλεῦσι μάλιςα. τοῦ τε παρὰ τοῦ πατρὸς λαβεῖν τὴν ἀρχὴν, καὶ τοῦ τῆς γενομένης ταραχῆς φανῆναι κρείττονας. ἐνταῦθα γὰρ, εἴ περ που, συνηνέχθη τό τε δίκαιον καὶ τὸ τῆς ἀνδρείας. εἴ τε γὰρ μὴ τὴν παρ᾽ ἐκείνου ψῆφον ἔχοντες, διὰ σφῶν αὐτῶν τὴν βασιλείαν ἐκτῶντο [68], εὐψυχίας μὲν ἂν εἶχεν ἡ κτῆσις ἀπόδειξιν, ἡ δὲ τοῦ δικαίου μερὶς οὐ προσῆν ἂν τοῖς γιγνομένοις. εἴτε δόντος ἐκείνου μηδὲν προσυπῆρξε δύσκολον, ἀλλὰ κατὰ πολλὴν ἡσυχίαν ἐξῆν ἀπολαύειν τῶν δοθέντων, τὸ μὲν δικαίως κρατεῖν ὡμολόγητ᾽ ἂν, ἡ δὲ τῆς ἀνδρείας εὔκλεια τοῖς τοῦ δικαίου λογισμοῖς οὐκ ἂν συνυπῆρχε. νῦν δὲ τὸ μὲν παρ᾽ ἑκόντος λαβεῖν, δικαιοσύνης. τὸ δὲ τῶν δεινῶν γενέσθαι βελτίονας, τῆς ἐσχάτης ἀνδρείας σημεῖον. πάρεςιν οὖν τῷ βουλομένῳ σκοπεῖν, εἴτε μικρῶν ἀγαθῶν αἰτιώμεθα

θεοῦ

[66] τὸν δὲ] sic Bauar. et τῶν δὲ Morell.

[67] παρίση] γρ. παρίςαται margo Morell. παρίςαι (sic) Bav.

[68] ἐκτῶντο] ἐκτήσαντο Bav. verum tamen in margine idem dat vulgatam haec altera lectio etiam in margine Mor. annotata est.

θεοῦ κηδεμονίαν, εἴτε τὸ τῶν πραγμάτων ὑπερβάλλον οὕτως ἀναπείθει φρονεῖν [69]. τίς ἂν οὖν ἀμείνω τῆσδε βασιλείαν ἐπιδείξειε τῆς ὑπὸ μὲν [70] τῶν προγόνων κτηθείσης, ὑπὸ δὲ τοῦ πατρὸς αὐξηθείσης, ὑπὸ δὲ τῶν νῦν ἐχόντων [71] βεβαιωθείσης; τίς ἂν τοὺς ἀρίστους τῶν ἐν μνήμῃ τοῖσδε παραβάλλειν ἐπιχειρῶν, οὐκ ἂν ἀγνοεῖν δόξειε πραγμάτων φύσιν τε καὶ μέτρα [72]. ξέρξην μὲν οὖν ἐῶμεν, εἰ δοκεῖ, τὸν ἀνοίᾳ τὰ μέγιστα δυστυχήσαντα, καὶ καμβύσην, τὸν εἰς μανίαν ἐκκυλισθέντα. δαρείῳ [73] δὲ, εἴ τῳ φίλον, παραθέντες ἐξετάσωμεν καὶ κῦρον ἐκεῖνον, οὗ τὸ θαῦμα μικροῦ σύμπαντας κατέχε. κύρου μὲν οὖν εὐθὺς γενομένου κατεψήφισθη θάνατος, καὶ ταῦτα ὑπὸ τῶν προσηκόντων. καὶ εἰ μὴ συμφορᾷ γυναικὸς βουκόλου τὸ βρέφος διέσωσεν, οὐκ ἂν ἦν κῦρος οὐδαμοῦ. ἀνδρωθεὶς δὲ καὶ νικήσας [74] πέρσας, μήδοις ἐπελθὼν, τὸν πάππον διέφθειρε. τὸ μέν τι [75] πλεονεξίας ἐπιδειξάμενος, τὸ δὲ δυσσεβείας οὐ πόῤῥω. τὸ μὲν γὰρ * τὴν οὐ προσήκουσαν [76] ἀρχὴν ἁρπάσαι, πλεονεξίας. τὸ δὲ προσεῖναί τινα περὶ τοὺς οἰκείους φόνον, οὐκ εὐσεβές. δαρείῳ δὲ τὴν βασιλείαν ἔδωκεν [77] ἱπποκόμου τέχνη, καὶ ἵππος δύσερως, καὶ χρεμετισμὸς μεμηχανημένος. οἱ δὲ ἡμέτεροι βασιλεῖς εὐθὺς ὡς ἐτέχθησαν, ὑπὸ κοιναῖς ἁπάν

[69] φρονεῖν] γρ. φωνεῖν margo Morell.

[70] μὲν addidi e Bauarico.

[71] ἐχόντων] ſic Bav. et margo Morell. cuius in texto eſt ἀρχόντων.

[72] μέτρα] ſic Bav. μέτρον Morell.

[73] δαρείῳ] ſic Bav. δαρεῖον Morell.

[74] νικήσας] ſic libri. malim κινήσας. cum Perſas commouiſſet, ad fortiter et ſtrenue agendum oratione ſua exemploque incitaſſet.

[75] τι] ſic Bav. τοι Morell. cohaeret illud τι, quodammodo redundans, cum πόῤῥω. οὐ πόῤῥω τι idem eſt atque οὐ πόῤῥω ſimplex. Conſtructio haec eſt, ἐπιδειξάμενος τὸ μὲν ὂν οὐ πόῤῥω [τι] τῆς πλεονεξίας, τὸ δὲ οὐ πόῤῥω τῆς δυσσεβείας.

[76] τὴν οὐ προσήκουσαν] ſic collocaui verba arbitratu meo. In libris ſic iacent οὐ τὴν προσήκ.

[77] ἔδωκεν] ἔδωκαν Bauar.

ἁπάντων εὐχαῖς ἐτρέφοντο. εἰσκληθέντες[78] δὲ τὴν βασιλείαν ἔλαβον, οὐκ ἐκκλεισθέντες εἰσεβιάσαντο. οἶμαι τοίνυν ποθεῖν τινας ἐν τῷ λόγῳ τὸν ἀλέξανδρον ἰδεῖν τοῖν βασιλέοιν ἡττώμενον. ἔστι δὲ οὐδὲν ἔργον τὴν νίκην ταύτην ἐργάσασθαι. εὐθὺς τοίνυν τῷ τῶν προγόνων ἀξιώματι παρεληλύθασι τὸν ἀλέξανδρον. ποῦ γὰρ ἴσον ἢ παραπλήσιον ἀμύντας, ἄνθρωπος ὑποτελὴς φόρου, ἢ φίλιππος κλέπτων τὰς πόλεις, καὶ πατέρων ἀρεταὶ ψαύουσαι τῆς οὐρανίας ἁψῖδος. ἔτι τοίνυν ἀλέξανδρος μὲν οὐδὲν κεκτημένος, ᾧ στέργειν ἄξιον, ἐπεχείρει[79] τῷ πλείονι. καὶ τὴν αὐτὴν προσθήκην τε τοῖς ὑπάρχουσιν ἐποιεῖτο, καὶ τοῦ μηδὲν ἐξ ἀρχῆς ἐσχηκέναι * θαυμαστὸν[80] ὁμολογίαν. ὥστε ἦν χρόνος, ὅτε οὐκ ἦν ἀλέξανδρος λαμπρός. οἱ δὲ ἡμέτεροι βασιλεῖς ἐκ μεγέθους τε τὴν πρώτην ἤρξαντο, καὶ διετήρησαν εἰς τέλος τὸ μέγεθος. χωρὶς δὲ τούτων ἀλεξάνδρου μὲν αὐξομένου κατὰ τὴν ἀρχὴν, ἦσαν οἱ φάσκοντες ἀδικεῖσθαι. τὰ γὰρ ἑτέρων ἀφαιρούμενος ηὔξετο. οὗτοι δὲ ὁμοῦ τε μέγιστοι τῶν ἀνθρώπων εἰσὶ, καὶ τὴν ἑτέρων[81] οὐ περικόπτουσιν. ἄνωθέν γὰρ ἔχοντες ὅσην ἄξιον, οὐδεμιᾶς προσθήκης προσδέονται. ὁπότ᾽ οὖν ἀλέξανδρος καὶ δαρεῖος καὶ κῦρος φαυλότεροι τῆς ὑπὲρ αὐτῶν δόξης ἀναφαίνονται[82] παρὰ τὸ πρὸς τούτους κρίνεσθαι, ποῦ τὸν λοιπὸν[83] κατάλογον τῶν βασιλέων

[78] εἰσκληθέντες] non ſatis planum quid ſibi velit. *vocati* quo? num ad imperium? ita tamen reliquiſſe Libanium, patet ex inſequente ἐκκλεισθέντες, cum quo alliterationem captavit; ſubfrigidam illam quidem, vt mihi videtur.

[79] ἐπεχείρει] ſic Bav. ἐπιχειρεῖ Morell.

[80] θαυμαστὸν] ſic de meo dedi. in libris eſt θαυμαστήν. per id ipſum, quod patrimonio et fortunis praeſentibus addebat, profitebatur ab initio, ſe nihil admodum mirandum (ſeu magnifaciendum) habuiſſe.

[81] καὶ τὴν ἑτέρων] ſic ♀ et Bav. copula caret Morelliana.

[82] ἀναφαίνονται] γρ. ἀναφέρονται margo Morell. vtramque lectionem exhibet Bauar.

[83] τὸν λοιπὸν] ſic Bav. τῶν λοιπῶν Morell.

λέων τάξομεν, ἡνίκα ἂν εἰς τούτους * ἀποβλέπωμεν [84]. ἔοικε δὲ κατὰ [85] μικρὸν ὁ λόγος εἰς τὸ πρόσω χωρῶν αὐταῖς ἤδη προσάγειν ταῖς πράξεσιν, αἳ μετὰ κινδύνων ἐτελέσθησαν. καὶ ἔγωγε μείζω κίνδυνον ὁρῶ τοῖς λέγουσιν ἐπικείμενον, ἢ τοῖς παραταξαμένοις αὐτοῖς. οὔτως οὐ φαυλότερον εἰπεῖν τι τῶν μεγίστων, ἢ κατορθῶσαι. τοσοῦτον δὲ ὑπειπεῖν ἄξιον. ἡμῖν γὰρ ἡ γνώμη νῦν ἐξ ἱστορίαν συνθεῖναι πάντα περιλαμβάνουσαν, οὐδὲ διήγησιν ψιλὴν ἀποτεῖναι, μηδὲν ἔξω καταλείπουσαν ἑαυτῆς, ἀλλ᾽ εὐφημίαν τινὰ τοῖς σωτῆρσι τῆς οἰκουμένης ἀναθεῖναι. ἔστι δὲ τοῦ μὲν ἱστορίαν συντιθέντος διὰ πάντων ἐφεξῆς τῶν εἰργασμένων ἐλθεῖν. τοῦ δὲ ἐγκωμιάζειν ἐπιχειροῦντος [86], μηδὲν μὲν εἶδος εὐφημίας παραλιπεῖν, οὐ μὴν διὰ πάντων ἕκαστα [87] διελθεῖν. ὅπερ οὖν περὶ τῆς τροφῆς τε καὶ παιδείας πεποιήκαμεν, ἑκατέρου μὲν εἰς μνήμην ἐλθόντες, οὐ μέντοι καθ᾽ ἑκάτερον ἁπάντων, τούτῳ καὶ κατὰ τῶν ἐν τοῖς πολέμοις ἔργων χρηστέον. εἰ μὲν οὖν οἷόν τε ἦν εὐχῆς τυχεῖν, δέκα μὲν οὐκ ἄν μοι στόματα, κατὰ τὸν ὅμηρον, ᾐτησάμην γενέσθαι, δύο δὲ γλώττας ἀντὶ παντὸς ἐβουλήθην ἄν μοι παρὰ τοῦ κρείττονος ὑπάρξαι. ἵν᾽ ὥσπερ τὰ ἄλλα κατὰ συζυγίαν ὁ λόγος ἐπαινῶν ἐχώρει, οὕτω κἀν τοῖς πολεμικοῖς ἔργοις τὸ ἴσον διεσώσαμεν. ἐπεὶ δὲ τοῦτο εὔξασθαι μὲν ῥάδιον, λαβεῖν δ᾽ οὐ δυνατὸν, τὴν τῶν βασιλέων ἡλικίαν [88] ὁ λόγος ἀκολουθίαν ποιείσθω, καὶ κοσμήσας οὕτως, ὅπως ἂν δύνηται, τὰ περὶ τὴν περσίδα τοῦ πρεσβυτέρου, ἐντεῦθεν ἐπὶ [89] τὴν ἑσπέραν μεταχω-

ταχω-

[84] ἀποβλέπωμεν] coniunctivum marte meo suffeci in locum indicatiui, qui est in libris.

[85] δὲ κατὰ] interponit Morell. καὶ, quod Bav. omittit.

[86] ἐπιχειροῦντος] sic Bav. ἐπιχειροῦντες Morell.

[87] ἕκαστα] malim καθ᾽ ἕκαστα.

[88] ἡλικίαν] sequatur oratio aetatem Augg. hoc est, de maiore natu prius verba faciam, tum de minore.

[89] ἐντεῦθεν ἐπὶ] sic Bauar. omittens ὁ λόγος, quod interpositum habet Morell. ego vero iam dudum ante suspicatus fueram, delendum esse, quod superuacaneum esset. paulo enim ante praecessit.

ταχωρείτω, ποικίλοις ὁμοῦ καὶ μεγίςοις ἔργοις ἐντευξόμενος. μικρὰ δέ μοι προδιαλεχθῆναι περὶ τοῦ θειοτάτου τῶνδε πατρὸς ἀναγκαῖον. οἶμαι δ᾽ οὐκ ἔλαττω συντελέσειν εἰς τὴν προκειμένην εὐφημίαν τουτὶ τὸ μέρος, ἢ σύμπαντα τὰ λοιπά. ὁμολογεῖται[90] μὲν γὰρ ἐκεῖνος ἅπασι τοῖς εἰς ἀρετὴν φέρουσιν ἅπαντας τοὺς ἔμπροσθεν παραδραμεῖν. τούτου δὲ οὕτω σαφοῦς ὄντος, καὶ διπλῆν οὐ δεχομένου γνώμην, πάλιν ὁμολογεῖται τῇ κατὰ πόλεμον ἀρετῇ τοσοῦτον αὐτὸν[91] παρελθεῖν, ὅσον τοῖς ἅπασι τοὺς λοιπούς. πολλῶν γάρ, οἶμαι, πολέμων ἐκείνῳ συςάντων, τῶν μὲν πρὸς ὁμοφύλους, τῶν δὲ πρὸς τοὺς βαρβάρους, οὐδείς ἐςιν, ὃν οὐ κατὰ νοῦν θέμενος ἀπηλλάγη, οὐδὲ πρὸς ὃν ὑπακούσαντι μετεμέλησεν, οὐδὲ ὃς[92] ἄνευ λαφύρων αὐτὸν ἀπέπεμψεν. ἀλλ᾽ ὥσπερ συγγραφὴν πρὸς τὴν τύχην ὑπὲρ νίκης ἀϊδίου πεποιημένος, οὕτω θαῤῥῶν τε τὰ ὅπλα ἐτίθετο καὶ ταῖς ἐλπίσι τὸ τέλος[93] σύμφωνον ἐκομίζετο. ἐκείνῳ μέντοι τῷ πάντα ἀρίςῳ καὶ νικᾶν εἰθισμένῳ, καὶ δεινῷ τὰ πολέμια, τὸ περσικὸν ἔθνος τὰς χεῖρας ἀντήρατο. κἂν ἐξετάζῃ τις μετ᾽ ἐμπειρίας τοὺς χρόνους, πρεσβυτέραν εὑρήσει τὴν ἀρχὴν τοῦ πολέμου τῆς ἐκείνου μεταςάσεως. ὥςε πρὸς μὲν ἐκεῖνον ὁ πόλεμος ἐκινήθη, εἰς δὲ τὸν παῖδα τοῦ πολέμου τὸ ἔργον κατέβη. πρὸς οὖν τί τοῦτο λέγω; καὶ τί βουλόμενος ἐπεισήγαγον τὸ μέρος; ὅτι, εἰ μὲν ἐκείνου περιόντος τὴν ἡσυχίαν ἦγον, ἐπεὶ δὲ μετήλλαξε τὸν βίον, τοῖς ὅπλοις ἐπεπήδων, οὐ σφίσιν ἂν αὐτοῖς ἔδοξαν μᾶλλον θαῤῥεῖν, ἢ τῶν ἐκεί-

90 ὁμολογεῖται] ὡμολόγηται Bauar. et hic et paulo poſt ſed cum vulgata ſuperſcripta priore hoc loco, non item poſteriore.

91 αὐτὸν] cum aſpero, vt Bav. dat. cum leni eſt in Morell. bellica virtute Conſtantinus, pater, ipſe ſeſe ſuperauit tantum, quantum reliquos rebus aliis ſuperauit.

92 ὃς] ſic ♀ et Bav. ὡς Mor.

93 ταῖς ἐλπίσι τὸ τέλος] hic ordo verborum eſt in Bav. iſte in Morell. τὸ ταῖς ἐλπίσι τέλος.

ἐκείνου[94] καταφρονεῖν. εἰ γὰρ τὸν ἐκείνου βίον μέτρον τῆς ἡσυχίας ἐπεποίηντο, τοῦτ᾽[95] ἂν ἅπασιν ἐδείκνυσαν· ἐπεὶ δὲ πρὸς αὐτὸν ἐκεῖνον ἔγνωσαν διακινδυνεύειν, εὔδηλον ὅτι τοῖς ὑπάρχουσι πιςεύοντες, εἰς τὸν πόλεμον εἰσῆλθον, ἀλλ᾽ οὐκ ἂν οἰηθέντες συναναιρεῖσθαι τὸν φόβον. ἃ τοίνυν πέρσας ἐπῆρεν εἰς τοσοῦτον[96] κίνδυνον ἀναῤῥῖψαι, βούλομαι φράσαι· καὶ γὰρ οὐδὲ εὔλογον εὐθὺς ἀκούσαντι[97] φαίνεται, τοὺς ἀγαπῶντας ἐν τοῖς ἔμπροσθεν χρόνοις, εἰ μή τις αὐτοὺς ἐνοχλείη, τούτους, ἐξὸν ἄγειν ἡσυχίαν, πολεμεῖν ἂν ἐθελῆσαι. τοῦτο τοίνυν βούλομαι συντομώτερον εἰπεῖν ὥσθ᾽ ἅπασιν εἶναι δῆλον, ὡς οὐκ ἀπὸ βραχείας γνώμης[98] εἰς τὸν πόλεμον κατέςησαν. οὐκ ἦν εἰρήνη τὸ γιγνόμενον ὑπὸ τῶν περσῶν, ἀλλ᾽ ἀναβολὴ πολέμου. οὐδ᾽ ἵνα μὴ πολεμήσαιεν, τῆς ἡσυχίας ἐπεθύμουν, ἀλλ᾽ ἵν᾽ ἀξίως λόγου πολεμήσαιεν, τὴν ἡσυχίαν ἠγάπων. οὐδὲ τὸ κινδυνεύειν καθάπαξ φεύγοντες, ἀλλὰ πρὸς μέγεθος κινδύνων εὐτρεπιζόμενοι. ἐμίγνυσαν δὴ τρόπον τινὰ εἰρήνην πολέμῳ, σχῆμα μὲν εἰρηνικὸν προβεβλημένοι, γνώμῃ δὲ πολεμούντων χρώμενοι. ἐπειδὴ γὰρ ἐν τοῖς ἄνω χρόνοις ἀπαράσκευοι ληφθέντες ἐπλήγησαν, οὐ τὰς εὐψυχίας τὰς αὑτῶν καταμεμψάμενοι, τῷ δὲ τῆς παρασκευῆς ἐλλείποντι τὴν αἰτίαν ἐπενεγκόντες, εἰρήνην ἐπὶ παρασκευῇ πολέμου συνέθεντο, καὶ διετέλουν δὴ τὸ ἐντεῦθεν πρεσβείαις μὲν καὶ δώροις πρὸς τὰς σπονδὰς ἀφοσιούμενοι, πάντα δὲ πρὸς ἐκείνην τὴν γνώμην συντάττοντες

τοντες

[94] τῶν ἐκείνου] ſcil. παίδων. mallem tamen τῶν ἐξ ἐκείνου. ſcil. γεγονότων. In Bauarico ſic reperio exaratum. ἢ τοῦ μετ᾽ ἐκεῖνον κρατήσαντος καταφρονεῖν.

[95] τοῦτο] ſe ſcil. contemtui habere Conſtantini M. ſucceſſorem.

[96] ἐπῆρεν εἰς τοσοῦτον] ſic Morelliana, ſed vitioſe. non melius Bauar. ἐπῆρεν εἰ τὸ τοσοῦτον ſine dubio leg. ἐπῆρε τοσοῦτον. Patet, ει natum eſſe ex ε, poſtrema ſyllaba v. ἐπῆρε et e τ proximo inſequente. et τὸ male iteratum eſſe e proximo τοσοῦτον.

[97] ἀκούσαντι] ſic Bav. ἀκούσασθαι Morell.

[98] ἀπὸ βραχείας γνώμης] e ſubito, calido conſilio.

τοντες. ἐξηρτύοντο δὴ τὰ σφῶν αὐτῶν, διὰ πάσης ἰδέας τὴν παρασκευὴν διακριβοῦμενοι [99], τὴν ἵππον, τὴν ἀσπίδα, τοὺς τοξότας, τοὺς σφενδονίτας, τὰ μὲν ἐξ ἀρχῆς νενομισμένα πρὸς ἄκρον ἐκμελετῶντες, ὧν δ' οὐκ εἶχον τὴν ἐπιστήμην, ταῦτα παρ' ἑτέρων εἰσφερόμενοι, καὶ τῶν μὲν οἰκείων οὐκ ἀφιστάμενοι τρόπων, προστιθέντες δὲ τοῖς ὑπάρχουσι θαυμασιωτέραν παρασκευήν. ἀκούων δὲ τοὺς ἑαυτοῦ προγόνους, δαρεῖον καὶ ξέρξην, ἔτεσι δέκα τὴν κατὰ τῶν ἑλλήνων μετρῆσαι παρασκευὴν, καὶ καταγνοὺς ἐκείνων ἐνδεῶς ἐπιχειρῆσαι, αὐτὸς εἰς τέτταρας ἐτῶν δεκάδας ἐκτεῖναι τὸν χρόνον ἠξίωσεν. ἐν δὲ τούτῳ τοσούτῳ γεγονότι συνήγετο μὲν ὄγκος χρημάτων, ἠθροίζετο δὲ πλῆθος σωμάτων, ἐχαλκεύετο δὲ ὅπλων ἰσχύς. ἤδη δὲ καὶ πλῆθος [100] ἐλεφάντων ἤγειρεν, οὐκ εἰς θέαν ψιλὴν, ἀλλ' εἰς τὴν χρείαν τοῦ μέλλοντος. πᾶσι δὲ προείρητο πάντων τῶν ἄλλων ἀφεμένους τὰ πολέμια μελετᾷν, καὶ μήτε τοὺς πρεσβύτας ἐκβαίνειν ἐκ τῶν ὅπλων, τούς τε νεωτάτους εἰς τὸν κατάλογον τελεῖν, γεωργίαν δὲ γυναιξὶ παραδόντας, αὐτοὺς μεθ' ὅπλων ἔχειν τὴν δίαιταν. ὃ δέ με μικροῦ παρῆλθε [1], πολλῶν ὑπερφέρον, ἄξιον εἰς μέσον θεῖναι. ὁ γὰρ δὴ τῶν περσῶν βασιλεὺς τὸ μέν τι [2] τῆς ἑαυτοῦ γῆς ἐπῄνει, τὸ δέ τι κατεμέμφετο. εἰς μὲν γὰρ σωμάτων φορὰν οὐχ ἡγεῖτο δευτέραν ἑτέρας εἶναι. κατηγόρει δὲ τῆς χώρας, ὅτι τὴν τῶν σωμάτων ἀρετὴν οὐχ ὥπλισεν οἴκοθεν σιδήρου γένεσιν δεῖξασα. τὸ δὲ σύμπαν, ἀνδρῶν μὲν ἄρχειν ὑπελάμβανε, χωλεύειν δ' αὐ-

τῷ

99 *διακριβούμενοι*] *διακρινούμενοι* Bav. sed cum β super ν primo.

100 *πλῆθος*] *γένος* Bauar. quod nescio an futuri sint, qui probent, propterea quod hoc idem voc. *πλῆθος* modo praecessit.

1 *με μικροῦ παρῆλθε*] primum vocabulum, quod e Bauar. addidi, cum Morell. deesset, pro postremaque ibi legeretur *παρῆλθεν*, (cum ν ephelkystico) suspicabar olim leg. esse *ὃ δὲ μικροῦ παρῆλθον.* in prima pers. sing. *paene praeterieram.*

2 *τι*] sic Bauar. et margo Morell. cum *ἴσως* textum M. dat *τοι*.

τῷ τὴν δύναμιν τῇ τῶν ὀργάνων ἀπορίᾳ. ὡς οὖν ταῦτα διασκοπῶν καὶ δυσχεραίνων ὡς ἐπὶ πλεῖστον ἐκάθητο. ἔδοξεν αὐτῷ δολερὰν ἐλθεῖν ὁδὸν καὶ ἀνελεύθερον, καὶ στείλας πρεσβείαν, καὶ θωπεύσας, ὥσπερ εἰώθει, καὶ προσκυνήσας διὰ τῶν πρέσβεων, αἰτεῖ σιδήρου πολύ τι χρῆμα, πρόφασιν μὲν ὡς ἐφ' ἕτερον ἔθνος προσοίκων βαρβάρων, τὸ δὲ ἀληθὲς κατὰ τῶν δεδωκότων ἐγνωκὼς χρῆσθαι τῇ δωρεᾷ. ὁ δὲ τὴν μὲν ἀληθεστέραν αἰτίαν οὐκ ἠγνόει. τὴν γὰρ ὑποψίαν παρεῖχεν ἡ τοῦ λαμβάνοντος φύσις. εἰδὼς δ' ἀκριβῶς ὅποι φέρει τὰ τῆς τέχνης, παρὸν ἀντιλέγειν, προθύμως ἔδωκεν. ὁρῶν μὲν ἅπαν τὸ μέλλον τοῖς λογισμοῖς, ὥσπερ ἂν ἤδη γεγενημένον, αἰσχυνόμενος δὲ τῷ παιδὶ πολεμίους καταλιπεῖν ἀόπλους [3], βουλόμενος δὲ σκῆψιν ἅπασαν αὐτοῖς προανῃρῆσθαι [4], φράττων δὲ τοὺς ἐναντίους ἀκριβῶς, ὅπως τοῖς ἅπασιν ἀνθοῦντες κατενεχθεῖεν. ἡ γὰρ τῶν ἡττημένων λαμπρότης εἰς τὴν τῶν κρατησάντων εὔκλειαν συντελεῖ. ὁ μὲν δὴ ταύτῃ τῇ μεγαλοφροσύνῃ καὶ ταῖς ἐλπίσιν ἑτοίμως ἔδωκεν [5], ὥσπερ ἐνδείξασθαι βουλόμενος, ὅτι κἂν εἰ τὰ χαλύβων ἐκκαρποῖντο μέταλλα, οὐκ ἂν παρὰ τοῦτο βελτίους φανεῖεν, ὧν ἐτάχθησαν χείρους εἶναι. τῷ δὲ ἄρτιος ἦν ἐνταῦθα ἡ παρασκευή, τῶν μὲν ἔνδον [6] ὑπαρχόντων, τῶν δὲ ἔξωθεν πεπορισμένων, καὶ τῶν μὲν ἀφθόνων προκειμένων [7], τῶν δ' οὐκ ἐλαττόνων τῆς χρείας προσγεγενημένων. ἀκίδες δὴ καὶ σαγάρεις καὶ αἰχμαὶ καὶ ξίφη [8] καὶ πᾶν ὄργανον πολεμικὸν ἐν εὐπορίᾳ [9] τῆς ὕλης ἐχαλ-

κεύε-

[3] καταλιπεῖν ἀόπλους] ſic Bavar. omittens προφάσεως quod Morelliana, ſed uncis ſeptum, habet interpoſitum.

[4] προανῃρῆσθαι] ſic Bav. προανῃρεῖσθαι (ſic) Morell.

[5] ἑτοίμως ἔδωκεν] ſic Bav. invertit Morell.

[6] ἔνδον] ſic Bav, ἔνδοθεν Mor.

[7] προκειμένων] ſic Bav. προσκειμ. Morell.

[8] ξίφη] ſi ♀ et Bav. ξίφοι Morell. quod vitium natum e vitioſo more librariorum, η et οι inter ſe permutandi.

[9] εὐπορίᾳ] ſic ♀ et Bav. πορ. Morell.

κεύετο. πάντα δὲ διερευνησάμενος, καὶ καταλιπὼν οὐδὲν ἀνεξέταστον, ἐπενόησεν ἱππικὸν ἄτρωτον, ὡς εἰπεῖν, κατασκευάσασθαι. οὐ γὰρ ὅσον εἰς κράνος καὶ θώρακα καὶ κνημίδας τῷ παλαιῷ τρόπῳ τὴν ὅπλισιν [10] ὥρισεν, οὐδ᾽ ὅσον μετώπου καὶ στέρνων ἱππικῶν προβαλέσθαι χαλκὸν, ἀλλ᾽ ὥστε τὸν μὲν [11] ἐκ κεφαλῆς εἰς ἄκρους πόδας, τὸν δ᾽ ἐκ κορυφῆς εἰς ἄκρας ὁπλὰς κεκαλύφθαι τοῖς φυλακτηρίοις. ὀφθαλμοῖς δὲ μόνοις ἀνεῷχθαι χώραν εἰς ὄψιν τῶν πραττομένων, καὶ ταῖς ἀναπνοαῖς τοῦ μὴ ἀποπνίγεσθαι. ἔφης ἂν τούτοις μᾶλλον πρέπειν τὴν τῶν χαλκῶν ἀνδρῶν προσηγορίαν, ἢ τοῖς παρ᾽ ἡροδότῳ στρατιώταις. ἔδει δὴ τούτους τὸν μὲν ἵππον ἐλαύνειν, ἀντὶ χαλινοῦ τῇ φωνῇ πειθόμενον. αἰχμὴν δὲ φέροντας, ἑκατέρας χειρὸς ἔργον, ἀπερισκέπτως τοῖς πολεμίοις ἐμπίπτειν, περὶ τὸ δρᾶσαι μόνον τὸν λογισμὸν ἔχοντας, τῇ δὲ τοῦ σιδήρου φυλακῇ τὸ σῶμα πεπιστευκότας. ὡς οὖν ἡτοίμαστο πάντα, καὶ διὰ πάντων ἡ δύναμις ηὐτρέπιστο, οὐκέτι κατέχειν οἷός τ᾽ ἦν αὐτόν. ἀλλ᾽ ὁρῶν μὲν τὸ πλῆθος τῆς στρατιᾶς, ὁρῶν δὲ τὸ τῆς ὁπλίσεως ἀρραγὲς, λογιζόμενος δὲ καὶ τῆς παρασκευῆς τὸ μῆκος, καὶ τῆς μελέτης τὸν χρόνον, καὶ τῆς κρείττονος τύχης ἀνατυπωσάμενος τὴν ἐλπίδα, πέμπει πρεσβείαν ὑπὲρ τῶν ὅρων ἀμφισβητήσουσαν. ἵν᾽, εἰ μὲν παραχωρήσαιμεν τῆς χώρας, ἀκμητὶ κεκρατηκὼς εἴη. εἰ δὲ μηδαμῶς εἴξαιμεν, ἀφορμὴν ταύτην τοῦ πολέμου προστήσαιτο. βασιλεὺς δ᾽ ὁ μέγας, ὡς ἤκουσε, μισήσας τὸν ἄνδρα τῆς ὑπερηφανίας, αὐτὸς ἔφη βούλεσθαί οἱ τὰς ἀποκρίσεις δοῦναι, καὶ τῷ λόγῳ τὸ ἔργον εἵπετο. ὡς δ᾽ ἐξανέστη [12], πάντα εὐθὺς συνεκινεῖτο. ἄρτι δὲ τῆς πορείας ἁψάμενος, ἐπειδὴ κατὰ τήνδε τὴν πόλιν [13] ἐγίνετο, εἶδεν ὁ κρείτ-

των

[10] τὴν ὅπλισιν] scil. τοῦ ἱππέως. nam de armatura equi statim subiicit.

[11] τὸν μὲν] scil. equitem. δὲ] equum.

[12] ἐξανέστη] e sede sua regia, CPli puta, aut ex Europa, transiturus in Asiam.

[13] τήνδε τὴν πόλιν] in qua istaec oratio tum recitabatur, Nicomedia puta. v. p. 150, 28. ed. Mor.

των, ὅτι πολλοῖς μὲν τροπαίοις ἐκεῖνος ἐγγέγραπται, δεῖ δὲ καὶ τοῖν παίδοιν τὸν ἐπὶ πέρσαις τεταγμένον νίκαις ἐλλαμπρύνεσθαι βαρβαρικαῖς. καὶ δόξαν οὕτως, τὸν μὲν ἄνω πρὸς αὐτὸν καλεῖ, τῷ δὲ φέρων τὸ ἔργον προσέθηκεν. ὅπως μὲν οὖν πέρσας ἐπῆρεν εἰς θράσος τὸ συμβὰν, καὶ ὡς ἤδη τὰς πόλεις ἔχειν ἡγοῦντο, πρόχειρον τεκμαίρεσθαι, ταῖς δὲ ἄρα φύλαξ κατελέλειπτο μὲγ᾽ ἀμείνων, καθ᾽ ὅμηρον. ἤ τό γ᾽ ἀληθέστερον, κατ᾽ οὐδὲν δεύτερος. ἐν ἐκείνῳ μέντοι τῷ καιρῷ δυοῖν τοῖν μεγίστοιν συνέπεσε χρεία. ἔνθεν μὲν γὰρ ἡ τοῦ πατρὸς ἐπέστρεφε ταφὴ, ἑτέρωθεν δὲ περσικῆς ἐφόδου κτύπος. ἔδει δ᾽ ἢ τοῖς πολεμίοις ἀπαντῶντα τῆς ὁσίας καταμελεῖν, ἢ τὴν ὁσίαν θεραπεύοντα τοῖς πολεμίοις ἀνοῖξαι τὴν ἀρχήν. τί οὖν ἐποίησεν; οὐ μᾶλλον τὸ κέρδος, ἢ τὴν ὁσίαν ἐσκέψατο. μᾶλλον δὲ ἄμφω καλῶς ποιοῦντα συνῆλθε, καὶ τὸ τῆς ὁδοῦ πάρεργον [14], οὐδενὸς ἀτιμότερον ἔργου. πρὸς μὲν γὰρ τὴν ταφὴν εὔζωνος αὐτὸς ἠπείχθη, πέρσας δὲ κατεῖχεν ἐπὶ τῆς οἰκείας [15] ὁ φόβος, ὃν εἴτ᾽ ἐξ οὐρανοῦ δεξάμενοι συνεστάλησαν, εἴτε [16] τῷ μηδὲν εἰδέναι τῆς ἀναχωρήσεως, ἀλλ᾽ οἴεσθαι τῇ τοῦ βασιλέως ἐντεύξεσθαι [17] δεξιᾷ, ἑκάτερον ὁμοίως εἰς ἐγκώμιον ἀρκεῖ. τὸ μὲν γὰρ τοῦ θεοφιλοῦς ἔχει σημεῖον, τὸ δὲ τῆς περὶ τὴν ἀρχὴν ἀκριβείας τεκμήριον, εἴ γε τὰ τῆς ἀπουσίας [18] τοὺς πολεμίους ἐλάνθανε. διαπραξάμενος δὲ τά τε ἄλλα, καὶ τῷ πάντα ἀξίῳ θαυμάσαι συγγενόμενος ἀδελφῷ, καὶ τοὺς ἐναντίους ἀκούων ὥσπερ ἐκ θεοῦ πληγέντας ἀπολελοιπέναι τὴν

[14] τῆς ὁδοῦ πάρεργον] sic appellat quietem Persarum, Constantio ab Antiochia, vbi viuo patre resederat, ad CPlin patris sepeliendi ergo profecto.

[15] οἰκείας] sic ♀ et Bauar. οἰκίας Morell.

[16] ad εἴτε subaudi e proximo, non ὃν δεξάμενοι, sed συνεστάλησαν.

[17] ἐντεύξεσθαι] sic Bav. ἐντεύξασθαι (in aor.) Morell.

[18] τὰ τῆς ἀπουσίας] id est αὐτή τε ἡ τοῦ κωνσαντίου ἀπὸ τῆς ἀντιοχείας ἀπουσία, καὶ ἡ ταύτης αἰτία, δηλονότι ἡ τοῦ πατρὸς ταφή.

τὴν ὄχθην[19] οὐκ ἔπαθε δὴ τοῦτο τὸ πάλαι θρυλλούμενον, οὐδ', ὅπερ ἐβούλετο, προσδοκήσας ἥξειν αὐτόματον, ῥᾳστώνης ἐποιήσατο τὸ λοιπὸν τοῦ χρόνου, ἀλλ' ἡγησάμενος τοὺς τοιούτους τῶν καιρῶν, ἔργων, οὐκ ἐλπίδος, δεῖσθαι, αὖθις ἔθει τὸν δίαυλον ἀποπληρῶν, ὥσπερ ὡς ἀληθῶς ἐν σταδίῳ διαθέων ἄνω καὶ κάτω συνεχῶς, ἀλλ' οὐ τὸ πλέον τῆς οἰκουμένης ἐπιών· διεδέχετο δὲ τὴν εἰς τάχος ὁδοιπορίαν ἐν ὅπλοις ἑτέρα πορεία[20], καὶ τοῖς ὁρίοις ἐφειστήκει τοῖς περσικοῖς, ἐπιθυμῶν αἱμόξαι τὴν δεξιάν, καὶ ὁ τὸν θυμὸν δεξόμενος[21] οὐκ ἦν. ἀλλ' οἱ τὸν πόλεμον εἰσάγοντες, ἐν φυγῇ τὸν πόλεμον διέφερον, οὐκ ἐκ συμπλοκῆς εἰς φόβον ἐμπίπτοντες. ἀλλὰ τῷ φόβῳ τὴν συμπλοκὴν οὐχ ὑπομένοντες. οὐδὲ ἐκ χειρῶν γενομένης[22] τῆς τροπῆς, ἀλλ' ἀρκούσης τῆς φήμης εἰς τροπήν. μάλιστα δ' ἄν τις ἐκεῖνο θαυμάσειεν. οὔτε γὰρ τὴν προσεδρείαν, οὔτε τὴν ἀναχώρησιν ἀΐδιον[23] ἔγνω ποιήσασθαι. ἀλλὰ χειμαδίῳ χρώμενος τῇ μεγίστῃ τῶν ἐκείνῃ[24] πόλεων, τῆς ὡραίας φανείσης, ἐν τοῖς ὅπλοις καὶ αὐτὸς ἐξέλαμπε, τῆς περσίδος τοσοῦτον ἐπιών, ὅσον ὁ λογισμὸς ἐπέτρεπε. τὸ μὲν γὰρ ὅλως προσκαθῆσθαι[25] τοῖς ἐκεῖ πράγμασι ταπεινὸν ὑπελάμβανε, τὸ δὲ μὴ παντελῶς ἐπελθεῖν[26], ἀργίας ἐνόμιζε. διόπερ τεμὼν τὸν χρόνον, τὸν μὲν στρατείας, τὸν δὲ βουλῆς ἐποιήσατο. ἦν δὲ τὸ κεφάλαιον τῆς βουλῆς, οὐχ ὅπως χρὴ κρατῆσαι φαινόμενον,

[19] τὴν ὄχθην] Euphratis puta.

[20] ἐν ὅπλοις ἑτέρα πορεία] idem est ac si dixisset ἑτέρα πορεία, ἡ ἐν τοῖς ὅπλοις.

[21] δεξόμενος] sic ♀ et Bav. δεξάμ. Morell.

[22] γενομένης] sic iidem, γιναμ. Morell.

[23] ἀναχώρησιν ἀΐδιον qui recessus futurus fuisset perpetuus, si ad CPlin se retulisset.

[24] ἐκείνῃ] sic Bav. et margo Morell. vbi Morellus ἴσως ἐκεῖ alleuit. qua emendatiuncula, si dis placet, supersedere poterat. nam ἐκείνῃ idem est atque ἐκεῖ, vel ἐν ἐκείνῃ τῇ χώρᾳ. Morelli textum dat ἐκείνης. designatur Antiochia.

[25] προσκαθῆσθαι] sic ♀ et Bav. προκαθ. Morell.

[26] ἐπελθεῖν] ἀπελθεῖν Bav. et margo Morell.

γον [27], ἀλλ᾽ ὅπως χρὴ πεῖσαι [28] φανῆναι· εἰς τοσοῦτον γὰρ αὐτοῖς τὰς προσδοκίας ὑπήλλαξεν, ὥσθ᾽ ἃ ποιήσειν ἑτέρους [29] ἐλπίσαντες [30] ἤραντο τὸν πόλεμον, ταῦτα πάσχοντας ὑπὸ τῶν ἀντεπιόντων ἐγκαλύπτεσθαι. καὶ τὸν μὲν πρότερον χρόνον [31] οὕτως ἦν τὸ μὲν ἐμβάλλειν ἐκείνοις σύνηθες, ἡμῖν δὲ τὴν οἰκείαν ἐπιόντων ἐκλείπειν ἀναγκαῖον, ὥστε τὰς προσοίκους ἐκείνοις [32] πόλεις εὕροις ἂν τῷ [33] μὲν χρόνῳ πρεσβυτάτας, τῇ δὲ τῶν ἐδαφῶν κατασκευῇ νεωτάτας. ἃς γὰρ ἐκεῖνοι πυρπολοῦντες ἀπηλλάττοντο, ταύτας ἔδει τοὺς κατιόντας ἀνορθοῦν. νῦν δὲ οὕτω τὸ πρᾶγμα πρὸς τοὐναντίον μεταπέπτωκεν, ὥστε σύρει μὲν ἀτειχίστους τὰς πόλεις οἱ πολλοὶ ἀξιοῦσιν οἰκεῖν, πέρσαις δὲ κινδυνεύει σύμβολον εἶναι νίκης, εἰ κρυπτόμενοι λάθοιεν. καὶ μηδεὶς οἰέσθω μήτε ἀγνοεῖν με τὰς κλοπὰς, αἷς καὶ νῦν ἐχρήσαντο, μήθ᾽ ὅτι καὶ βαλεῖν τινα στρατιώτην ἐξ ἀφανοῦς ἔχον, μήθ᾽ ὅτι συνθήκας εἰς ἀνακωχὴν εὑράμενοι, τῷ διὰ τοὺς ὅρκους ἀφυλάκτῳ πρὸς πλεονεξίαν κατεχρήσαντο. μηδ᾽ αὖ [34] σαφῆ μὲν ἐχηκέναι τὴν τούτων γνῶσιν, ἑκόντα δὲ ὑπερπηδᾶν. τοσοῦτον [35] γὰρ δέω τούτοις τοῖς πράγμασιν αἰσχύνεσθαι, ὥστε εἰ μηδὲν τούτων ὑπῆρχε, τότ᾽ ἂν εἰκότως αἰσχυνθῆναί μοι δοκῶ [36]. ὁ γὰρ τῶν ἡττημένων μηδὲν ἔχων εἰπεῖν, ὅτου καὶ μνημονεύειν ἄξιον, οὗτος καὶ τὸν τῶν κεκρα-

[27] φαινόμενον] ſcil. τὸν πέρσην. malim tamen legi φαινομένων ſcil. τῶν περσῶν vel τῶν πολεμίων.

[28] πεῖσαι] ſcil. Perſas, vel hoſtes, permouere, vt in conſpectum prodirent.

[29] ἑτέρους] ſic ♀ et Bav. ἑτέροις Morell.

[30] ἐλπίσαντες ſic textum Bav. ἐλπίζοντες eiusdem margo et textum Morelli. perinde eſt, vtrum optes.

[31] χρόνον] ſic Bav. et margo Mor. cuius textum dat χρόνων.

[32] ἐκείνοις] ſic Bav. ἐκείνοιν Morell.

[33] τῷ] ſic Bav. τὸ Morell.

[34] μηδ᾽ αὖ] ſic libri. ſed conſtructio poſtulat μήτ᾽ αὖ (per tau.)

[35] τοσοῦτον] ſic Bav. τοσοῦτῳ Morell.

[36] δοκῶ] δοκῶν Bav. ſed cum vulgata ſuperſcripta.

κεκρατηκότων ἔπαινον προσφέρηται. ὥσπερ γὰρ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐπειδὰν ὁ κλῆρος τὸν πολὺ[37] λειπόμενον ἀποδύῃ πρὸς τὸν ἄριστον, γίνεται μὲν ἡ νίκη[38] τοῦ βελτίονος, ὁ δὲ παρὰ τῶν θεατῶν κρότος οὐκ ἀκολουθεῖ τῷ στεφάνῳ, οὑτωσὶ δὲ καὶ τοῖς πολεμίοις ἡ τῶν ἡττημένων φαυλότης ζημιοῖ τοὺς νενικηκότας εἰς δόξαν. συγχωρῶ δὴ πέρσας δεινοὺς εἶναι καὶ κλέψαι καὶ παρακρούσασθαι, καὶ μὴ τὴν ταχίστην ἀπειπεῖν, καὶ δι' ἐπιορκίας ῥᾷστα ἂν ὑφελέσθαι πολλά. ἀλλ' ὅμως οἱ τοσαύτας ὁδοὺς ἐπὶ τὸν πόλεμον εὑρηκότες οὐκ ἔφερον ὀρθοῖς ὀφθαλμοῖς πρὸς τὴν τοῦ βασιλέως ἀντιβλέψαι κυνῆν. τεκμήριον δὲ μέγιστον ἀμφοτέρων τούτων. εἰ μὲν γὰρ ἤκουον προσιόντα, παντάπασιν ἠφανίζοντο. τῆς δ' ἀπουσίας αἴσθησιν λαμβάνοντες τοῖς ἀντικαθημένοις ἐπεχείρουν. ἐκ μὲν τοῦ προτέρου τὸν φόβον ὁμολογοῦντες, ἐν δὲ τῷ δευτέρῳ τὴν τέχνην ἐπιδεικνύμενοι. οὕτω τὴν μὲν πολεμικὴν ἐμπειρίαν ἐκέκτηντο. βασιλέως δὲ φανέντος τῆς ἐμπειρίας τὴν μνήμην ὑπὸ τοῦ δέους ἐξέβαλλον. καὶ ὅτι γε οὐκ ἀπεικότως, ἀλλὰ νουνεχόντως τοῦτον τὸν τρόπον ἐχρῶντο τοῖς καιροῖς, ἔδειξεν ἡ πεῖρα. οἱ γοῦν οὐ δυνηθέντες σφᾶς αὐτοὺς κατακρύψαι τὴν ταχίστην, οὐκ ἔφθασαν βασιλεῖ φανέντες καὶ σαγηνευθέντες ὡς ἡμᾶς μετεσκευάσθησαν, οὐχ οἱ μὲν παραδόντες σφᾶς αὐτοὺς, οἱ δὲ ἀγωνιζόμενοι ληφθέντες, ἀλλ' ἁπλῶς πάντες ἑνὶ σχήματι πτήξαντες καὶ χεῖρας εἰς ἱκετείαν προτεινάμενοι. καὶ πλήρωμα πόλεως οὐ φαυλοτάτης ἐν πέρσαις αὐτοβοεὶ, καθάπερ ἐν δικτύῳ συγκλεισθέντες[39], πανοικεσίᾳ μετηνέχθη, καταρώμενον μὲν τοῖς ἐμβαλοῦσι τοῦ πολέμου τὸ σπέρμα, ὀδυρόμενον δὲ τὴν τῆς πατρίδος ἐρημίαν, οὐκ ἀπεγνωκὸς δὲ τὰς ἀμείνους ἐλπίδας ἐκ τῆς τοῦ νενικηκό-

[37] τὸν πολὺ] sic ♀ et Bav. τὸ π. Morell.

[38] ἡ νίκη] articulum addidi ex ♀ et Bav.

[39] συγκλεισθέντες] ἴσως συγκλεισθὲν margo Morelli. verum multo probabilius est, Libanium dedisse ὥσπερ ἰχθῦς ἐν δικτύῳ κατακλεισθέντες.

τος πραότητος. καὶ οὐκ ἐψεύσθησαν. λέγω δὲ ἤδη τὸ μετὰ τὴν αἵρεσιν [40] βούλευμα πολὺ τῆς αἱρέσεως ἄμεινον, παρά γε ἐμοὶ κριτῇ. οὐ γὰρ ἀπέκτεινε λαβὼν, ὥσπερ οἱ κερκυραῖοι τοὺς ἐξ ἐπιδαύρου κορινθίων οἰκήτορας. οὐδέ γε ἀπέδοτο τὰ ἆθλα τοῦ πολέμου, καθάπερ φίλιππος τοὺς αἰχμαλώτους ὀλυνθίων. ἀλλ᾽ ἐπενόησεν ἀντὶ ςήλης καὶ τροπαίου χρήσασθαι τοῖς αἱρεθεῖσι [41], καὶ κομίζων εἰς θράκην κατοικίζει, μηνυτὰς εἶναι καὶ τοῖς ὕςερον τοῦ πάθους. καὶ τούτοις οὐκ ἔνεςιν ἀπιςεῖν. οὐ γὰρ ἐξίτηλον χρόνῳ γεγονυῖαν πρᾶξιν διηγούμεθα, συναγωνιζομένης εἰς ψευδολογίαν ἀρχαιότητος. ἀλλ᾽ οἶμαι πάντας ἐπὶ τῶν ὀφθαλμῶν ἔτι περιφέρειν τὴν χθὲς καὶ πρῴην γεγενημένην τῶν αἰχμαλώτων πομπήν. τοῦτ᾽ ἦν ὃ φημι τοῦ κεκρατηκέναι κάλλιον εἶναι καὶ ςρατηγικώτερον. πόλεις μέν γε πολλοὶ πολλάκις παρεςήσαντο. τὰ δ᾽ ἐκ τῆς ἁλώσεως εἰς τὸ δέον οὐ πολλῶν οὖν διαθέσθαι. σκοπῶμεν γὰρ ὁπόσα συνείληφεν ἑνὶ τούτῳ. πρῶτον μὲν χῶρον ἐξηγριωμένον ἐπὶ θράκης πλεῖςον ὅσον ἡμέρωσε, τοὺς γεωργήσοντας παρασχών. ἔπειτα τὴν μνήμην τῶν κατορθωμάτων εἰς ἅπαντα τὸν χρόνον παρέπεμψε, τῇ τῶν γενῶν διαδοχῇ τὴν λήθην οὐκ ἀφεὶς κατὰ τῶν πεπραγμένων ἰσχῦσαι. τρίτον τὸ αὐτὸ [42] φιλανθρωπίας καὶ μεγαλοψυχίας σημεῖον ἐξήνεγκε, τοῖς μὲν δάκρυσιν εἰς ἔλεον καμφθεὶς, τὸν δὲ θυμὸν ἀποῤῥίψας ἐν τῇ μεταβο-

[40] αἵρεσιν — αἱρέσεως] ſic textum Morelli et margo Bavarici, contra textum huius et margo illius dant ἄρσιν et ἄρσεως. αἵρεσις h. l. non eſt delectus, quem inter duas pluresve res facimus, ſed captio hoſtium, redactio eorum in poteſtatem. non τὸ αἱρεῖσθαι, ſed τὸ αἱρεῖν, ea ratio, qua Conſtantius captis a ſe hoſtibus vſus eſt, multo eſt praeſtabilior maiorisque facienda, quam hoc ipſum, quod eos cepit, atque in poteſtatem ſuam redegit. Paulo poſt ipſe explicat in iſtis. τοῦτ᾽ ἦν ὃ φημι τοῦ κεκρατηκέναι κάλλιον εἶναι.

[41] αἱρεθεῖσι] ſic margo Bav. quoque, nam textum eius dat ἀρθεῖσι.

[42] τὸ αὐτὸ] quod idem eſſet vna humanitatisque et magni animi teſtimonium.

ταβολῇ τῆς τύχης. ἐπὶ τούτοις, τοὺς πόῤῥω κατῳκισμένους [43] τῆς τῶν πολεμίων χώρας οὐ περιεῖδεν ἀκοῇ μόνον τῶν γεγενημένων ἐξιωμένους, ἀλλ᾽ αὐτόπτας τῶν ὅλων καταςήσας, ἡδονῆς τε πολλῆς καὶ χρηςῆς ἐλπίδος ἐνέπλησεν, ἐπὶ [44] μὲν τοῖς κατορθώμασι γεγηθότας, τοῖς δὲ κατειργασμένοις τεκμαιρομένους τὸ μέλλον. εἰ δέ με δεῖ τι καὶ τῶν ἐμαυτῷ κεχαρισμένων εἰπεῖν, πολλοςῷ χρόνῳ δίκην ὑπὲρ τῶν ἐξ εὐβοίας ἑλλήνων ἀνηρπασμένων ἐπράξατο, ἀντὶ τῶν ἐρετρικῶν γενῶν τούσδε ἐκ τῆς ἐκείνων ἀνασπάσας. ἦν μὲν οὖν ἂν καὶ τοῦτο μέτρον ἀρκοῦν θατέρῳ [45], καὶ φιλοτιμίας οὐδὲν ἂν ἀπῆν, εἰ καὶ μηδὲν ἦν ὑπὲρ τοῦ πρεσβυτέρου [46] προσθεῖναι. τὸν γὰρ οὐδὲν μὲν ἀνωτέρω τῆς ὁσίας πεποιημένον, ἐν δὲ τῷ τοσοῦτον ἀποσχισθῆναι τῶν πραγμάτων μηδὲ τὸ μικρὸν ἀποβαλόντα, φοβοῦντα δὲ τοὺς ἐναντίους εἰ προσιὼν ἂν ἀγγελθείη, καὶ πάλιν παρέχοντα θαῤῥεῖν, εἰ τῆς ἀναχωρήσεως ὁ καιρὸς ἐπιςαίη, πόλεις δὲ τὰς μὲν κινοῦντα, τὰς δὲ κατοικίζοντα, πῶς οὐ διὰ παντὸς φαίη τις ἂν ἀφῖχθαι τοῦ προσήκοντος. οὐ μὴν ἔνεςιν ἀποῤῥῆσαι βουλομένῳ λέγειν, ἀλλ᾽ αὐτὰ δὴ [47] τὰ κυριώτερα λέλειπται. τοῦτο μὲν ἡ τελευταία μάχη, τοῦτο δὲ ἕτερα ἄττα σοφίας τῆς ἐσχάτης βάσανον παρεχόμενα. ἔξεςι δ᾽ ὧδέ πη θεάσασθαι. ἴσμεν ἅπαντες τοῦθ᾽ ὅτι τήνδε τὴν μερίδα τῆς βασιλείας δύο τὰ μέγιςα τῶν βαρβάρων ἔθνη περιπτύσσεται. ἔνθεν μὲν ὑπὲρ ἴςρον σκύθαι κεχυμένοι, ἑτέρωθεν δὲ περσῶν πολυανθρωπία διοχλοῦσα [48]. τούτων τοίνυν οἱ μὲν [49] θρασυνόμενοι πράττουσιν οὐδέν. οἱ δὲ οὐδὲ κι-

νουν-

[43] κατῳκισμένους] κατῳκημένους Bavar.

[44] ἐπὶ] ἐν margo Bav.

[45] θατέρῳ] scil. fratri, Constanti puta.

[46] ὑπὲρ τοῦ πρεσβυτέρου] de Constantio, qui medius fratrum, aliquot annis Constante vetustior erat.

[47] δὴ e Bauarico addidi.

[48] διοχλοῦσα] sic etiam Bav. sed cum εν superscripto, vt sit διενοχλοῦσα.

[49] οἱ μὲν] Persae puta. οἱ δὲ] Scythae.

νοῦνται τὴν ἀρχήν. τίς οὖν οὕτω ῥάθυμος ἢ νωθρός, ὅστις οὐκ ἂν ἥδιστα ζητήσειεν οὕτω παραδόξου πράγματος φύσιν, τί ποτέ ἐστιν, ὃ σκύθας, τοὺς φονικωτάτους καὶ τοὺς ἄρει τετελεσμένους, καὶ δυστύχημα τὴν ἡσυχίαν κρίνοντας, εἰρήνην μὲν ἔπεισεν ἀγαπῆσαι, καταθέσθαι δὲ τὰ ὅπλα, καὶ βασιλέα τὸν ἡμέτερον ἐν ἴσῳ τοῖς οἰκείοις[50] ἄγειν, καίτοι πολὺ μὲν ἀπηρτημένον ἴστρου, τὰς δὲ δυνάμεις ἐφ᾽ ἑτέροις[51] τάττοντα. τίς οὖν ἡ τοσούτου πράγματος αἰτία; ὅτι βασιλεὺς ἀνδρείαν καὶ σύνεσιν ἐπ᾽ ἴσης κεκτημένος, τὰ μὲν εὔβουλίᾳ κεχείρωται τὰ δὲ ἀνάγκῃ μετέρχεται. γνοίη δ᾽ ἄν τις, εἰ παραθείη τῇ νῦν ἀπὸ σκυθῶν ἀδείᾳ τὰς προτέρας καταδρομάς, πρὸς ἃς ἀντιβλέπειν μὲν οὐκ ἐξῆν, μιᾶς δὲ εὐχῆς τυγχάνουσιν ἐγίγνετο σώζεσθαι. αὕτη δὲ ἦν, μὴ παγῆναι βέβαιον ἐν ἴστρῳ κρύσταλλον, ὥστε καὶ ἐπελθεῖν ὑπάρχειν[52]. καὶ τίς ἂν ἔτι θαυμάσειε τῆς ἡσυχίας τὸ βέβαιον, ἐπειδὰν ἀκούσῃ τῆς συμμαχίας τὸ πρόθυμον; οὕτως οὐδὲν μέν ἐστιν, ὃ μὴ μετὰ θαύματος προσβάλλει, ἀεὶ δὲ τῷ δευτέρῳ τὸ πρότερον ἀποκρύπτεται. ὃ γὰρ εἰς ἀκοὴν μὲν ἥδιστον, ἔργῳ δ᾽ οὐδενί πω πρὸ τοῦδε[53] γεγενημένον, ἀλλὰ τοῖς μὲν οὐδὲ ἐπὶ νοῦν ἐλθόν, τοῖς δὲ οὐ δυνατὸν νομισθέν, ᾧ πάντα τὰ πάντων ἀντιτιθεὶς τὸ μηδὲν εὑρήσεις τοῦτο[54] καὶ ἐβουλεύθη, καὶ οὐκ ἀπεγνώσθη καὶ τετέλεσται. πάλαι ἐξῆλθε στρατόπεδον σκυθικόν, τῇ μὲν ῥωμαίων χειρὶ συμβαλλόμενον[55], τῇ δὲ δυνάμει περσῶν ἀντιταξόμενον. καὶ

τὴν

[50] τοῖς οἰκείοις] scil. βασιλεῦσι.

[51] ἐφ᾽ ἑτέροις] idem est, ac si ἐφ᾽ ἑτέρους dixisset.

[52] ὑπάρχειν] ὑποχεῖν Bav. quod ferri possit habet tamen idem vulgatam quoque in margine.

[53] πρὸ τοῦδε] scil. τοῦ βασιλέως. Bav. dat πρὸ τοῦ. antehac, quod etiam probari possit.

[54] ἀντιτιθεὶς τὸ μηδὲν εὑρήσεις τοῦτο] sic libri, sine dubio vitiose. videtur leg. ἀντιτιθεὶς μηδένα εὑρήσεις, ὅτῳ τοῦτο — invenies neminem, cui hoc in mentem venisset, aut qui de eo non desperasset, aut denique qui perfecisset.

[55] συμβαλλόμενον] vt socii faciunt, copias suas cum copiis reip. iungentes, idem hic

loci

τὴν μὲν τούτων [56] ἀρχὴν φυλάξον ἀκίνητον, τὴν δ' ἐκείνων δυναστείαν συγκαταλῦσον. καὶ τὸ ἔτι μεῖζον. οὐ γὰρ ὅσον ἀφοσιώσασθαι, τὴν ἔξοδον ἐποιήσαντο, οὐδὲ ἐπὶ τῆς χρείας ἐθελοκακοῦντες ὤφθησαν, οὐδὲ προσιόντας ἰδόντες βάρβαροι βαρβάρους, ὑπὸ τῆς ὄψεως ἀμείψαντες τὴν γνώμην, εὐθὺς μετετάξαντο, καθάπερ πρότερον θετταλοὶ [57], ἀλλ' ὥσπερ ὑπὲρ τῆς οἰκείας [58] ἀγωνιζόμενοι, τῇ προθυμίᾳ τῶν ἔργων οὐδὲν τῶν κεκληκότων [59] διήλλαξαν. καὶ τούτων οὐ τὰς ἐκείνων φύσεις, τὴν δὲ βασιλέως αἰτιατέον σοφίαν, ὃς ἀντὶ μὲν ἀπίστων πιστοὺς κατέστησεν, ἀντὶ δὲ ἀτάκτων εὐπειθεῖς. ἀντὶ δὲ παλιμβόλων βεβαίους, ἀντὶ δὲ πολεμίων συμμάχους, ἑνὶ δὲ βουλεύματι κατά τε περσῶν ἐπορίσατο προσθήκην, καὶ τῆς σκυθικῆς οὐ σμικρὸν μέρος [60] ἐκένωσε, καὶ τοὺς συνημμένους τῇ προσηγορίᾳ [61] ταῖς γνώμαις ἐξεπολέμωσε. ὥστ' ἔμοιγε μὴ ῥᾳδίαν εἶναι τὴν κρίσιν, πότερον ἐπ' ἀνδρίᾳ πλέον, ἢ σοφίᾳ γνώμης, ἄξιος θαυμάζεσθαι [62]. τοῦ δ' αὐτοῦ λόγου τὴν πίστιν [63] κἀκεῖνο παρέχεται. τοσούτου γὰρ πολέμου διαντλουμένου τῷ βασιλεῖ, στάσις ἔνδοθεν ἐξ ἀπροσδοκήτων ἐκινήθη. καὶ κατεῖχε ταραχή τις οὐ με-

τρία

loci eſt, atque συμμαχησόμενον.

[56] τούτων] redit ad remotius, ad Romanos, vt ἐκείνων ad propius, ad Perſas redit.

[57] θετταλοὶ] reſpicit ad Theſſalorum ad Xerxem tranſitum, illo Theſſaliam inuadente, de quo Herodotus.

[58] τῆς οἰκείας] ſic ♀ et Bav. τῆς οἰκίας Morell.

[59] τῶν κεκληκότων] ſunt hi Romani.

[60] μέρος] γένος Bav. ſed cum vulgata in margine.

[61] τῇ προσηγορίᾳ] ambo enim, tam Scythae, quam Perſae, Romanis erant barbari, vno illo nomine copulati.

[62] θαυμάζεσθαι] θαυμάσαι Bavaricus. quam lectionem neſcio an haud pauci vulgatae etiam ſint praelaturi, habet tamen idem vulgatam quoque in marg.

[63] πίστιν] probationem, demonſtrationem. ſic Bav. κρίσιν Morell.

[64] τὴν μεγίστην] deſignat CPlin. de ſeditione CPtana, quae in A. 342. incidit, v. Valeſ. ad Ammian. Marcell. p. 48. vbi locum hunc citat.

τρίαν τὴν μεγίστην [64] μὲν τῶν τῇδε πόλεων, τῆς δὲ ἁπασῶν μεγίστης δευτέραν. καίτοι τοῦτο ὁ μὲν ἁπλῶς σκοπῶν δυστύχημα νομιεῖ. ὅτῳ δὲ πάρεστιν ἱκανῶς λογίζεσθαι, τῆς ἄκρας εὐτυχίας τὸ συμβεβηκὸς θήσεται. ὥσπερ γὰρ τοῖς ἀρίστοις τῶν ἰατρῶν αἱ τῶν ἀῤῥωστημάτων ὑπερβολαὶ λυσιτελοῦσιν, ἐναποδείξασθαι παρέχουσαι τὴν τέχνην, οὕτω καὶ βασιλεῦσιν αἱ δυσκολίαι τῶν καιρῶν κέρδος φέρουσιν, εἰ μέλλοιεν ὑπὸ τῆς ἐκείνων [65] εὐβουλίας ἐπὶ τὰ βελτίω τελευτήσειν. ἐπεὶ καὶ τὸν αἰακὸν οὐδὲν ἂν ἐκώλυσε μέγιστον μαρτύριον δικαιοσύνης παρῃρῆσθαι, εἰ μὴ τῶν ἀέρων ἀκρασία τοὺς ἕλληνας εἰς τὴν [66] ἐκείνου χρείαν καταστήσασα, παρέσχεν, ὅστις ἦν, ἐπιδείξασθαι. ἐγὼ μὲν δὴ συγχαίρω τῷ βασιλεῖ τῆς παρενθήκης ταύτης [67], ὅτι τοὺς ἀγαθοὺς τῶν κυβερνητῶν ἔδωκε [68] μιμήσασθαι, οἳ τῆς νεὼς πολλοῖς πολλαχόθεν ταραττομένης πνεύμασιν, ἀντέχουσιν ὁμοῦ πρὸς ἅπαντα, κρείττονα τῆς ζάλης παρεχόμενοι τὴν τέχνην. καὶ βασιλεὺς ἐν μέσῳ στὰς πολέμου καὶ στάσεως, καὶ πλήθει πραγμάτων κεκυκλωμένος, οὐκ ἐταράχθη τὴν ψυχὴν ὑπὸ τῆς τρικυμίας, ἀλλ' οὕτως ἤρκεσεν ἀμφοτέροις, ὥσπερ ἂν εἰ πολλὴν ἦγεν ἀπὸ θατέρου σχολήν. ἐνταῦθα δὲ τί πρῶτον, ἢ τί τελευταῖον χρὴ λέγειν; ἢ τίνος μεμνημένον, τί παραλιπεῖν [69]; πότερον ὡς ἀπανέστη τῆς περσίδος, ὑπεριδὼν ἐκείνων [70], ὡς οὐδαμοῦ φανησομένων [71]; ἢ τῆς πορείας τὸ τά-

[65] ἐκείνων] scil. τῶν βασιλέων. sic Bav. et ♀ ἐκείνου dat Morell.

[66] εἰς τὴν] praepositionem, quae Morell. deest, addidi ex ♀ et Bav.

[67] τῆς παρενθήκης ταύτης] sic appellat sedationem huius seditionis, quasi opus secundarium, accessorium ad summam rei, quae erat Persici belli gestio.

[68] ἔδωκε] scil. αὕτη ἡ παρενθήκη αὐτῷ. permisit ei (Constantio puta) haec operis accessio, seu locum ei fecit imitandi peritos gubernatores.

[69] παραλιπεῖν] παραλείπειν Bav.

[70] ἐκείνων] scil. τῶν περσῶν. quod nomen latet in proximo τῆς περσίδος.

[71] φανησομένων] sic ♀ et Bav. φανησομ. Morell. errore operarum.

τάχος, ὦ τοὺς λακεδαιμονίους [72] παρέδραμεν; ἢ τοῦ χειμῶνος τὰς ὑπερβολάς; ἢ τῶν νιφάδων τὰς ἐμβολάς; ἢ τῶν ὄμβρων τὴν συνέχειαν; ὧν ἁπάντων, ὥσπερ τις ἀδαμάντινος, κατεγέλα. ἀλλ᾽, ὡς πρίν γε [73] φανῆναι τοῖς στασιάζουσι τὴν μανίαν ἔσβεσεν; ἀλλ᾽, ὡς τὸν πορθμὸν διέπλευσεν, ὥσπερ θείᾳ νεφέλῃ κεκαλυμμένος; ἀλλ᾽, ὡς τοὺς ἐν αἰτίᾳ μετεχείρισατο; ἀλλ᾽, ὡς τοὺς ἀνεγκλήτους διέκρινεν; ἀλλ᾽, ὡς οὐδένα μὲν διέφθειρε, τοὺς δὲ κακουργοῦντας ἐσωφρόνισεν; ἀλλ᾽, ὡς ἐξουσίαν εἰς λόγον τῇ βουλῇ παρασχὼν, πλεῖον ἐκράτει λέγων; ἀλλὰ πάντα ταῦτα ἀφέντα τῶν ἀμοιβαίων λόγων μνημονεῦσαι δίκαιον, οἷς τὸ δεινότατον τῆς βουλῆς κατεπάλαισεν ὀξέως; ἀλλ᾽, ὡς οὐκ ἔφθη καταστήσας ἐκείνοις τὰ πράγματα, καὶ πρὶν ἢ λῦσαι τὴν ζώνην, αὖθις ἐφειστήκει τοῖς πολεμίοις; οὕτως, ὅπερ [74] ἔφην, ἀμφισβητεῖν μὲν ἔξεστι πότερον ἀνδρίας ἢ συνέσεως ἡ κτῆσις ἄμεινον [75]. ὁπότερον δ᾽ ἂν κριθῇ νικᾷν, παρὰ τῷ βασιλεῖ τὸ κρατεῖν ἐστι. καίτοι ὅτε καὶ τῶν ἡρώων τοὺς ἄκρους ἴσμεν ἀπὸ θατέρου τούτοιν εἰς τὰ πρῶτα βεβηθέντας. τῷ δὲ [76] ἀμφότερα μεθ᾽ ὑπερβολῆς κεκτημένῳ τίνα εἰς ταὐτὸν [77] ἄξιον θεῖναι; φέρε δὴ καὶ τῆς τελευταίας μνημονεύσωμεν μάχης, ἣν τελευταίαν τε καὶ μεγάλην τὴν αὐτὴν ἔξεστι προσειπεῖν, καὶ πολὺ πλέον πρέπουσαν κεκλῆσθαι μεγάλην, ἢ τὴν ἐν κορίνθῳ τὴν ὑμνουμένην. ὑπισχνοῦμαι δὴ τὸν βασιλέα δείξειν ἐν ταύτῃ πέρσας τε ὁμοῦ καὶ τὰς οἰκείας δυνάμεις νενικηκότα. καὶ μηδεὶς πρὶν ἀκοῦσαι ταῖς ὑπερβολαῖς ἀπιστείτω. ἀλλ᾽ ἀναμείνας τοὺς λογισμοὺς,

[72] λακεδαιμονίους] cum armati intra nouem dies e Peloponneso in Atticam veniunt, quo Atheniensibus in pugna Marathonia praesto essent, quamquam sero veniebant. Hanc enim videtur expeditionem designare.

[73] γε abest a Bauar.

[74] ὅπερ] ὥσπερ Bav.

[75] ἄμεινον] sic Bav. ἀμείνων Morell.

[76] δὲ] sic Bavar. γε Morell.

[77] εἰς ταὐτὸν] sic Bav. et margo Morell. cuius textum dat εἰς αὐτόν.

σμοὺς, οὕτως ἐκφερέτω τὴν κρίσιν. μικρὸν δὲ ἄνωθεν ἄρξασθαι βούλομαι. οὕτω γὰρ ἂν τοῦ παντὸς ἡ σκέψις ἀκριβεστέρα γένοιτο. πέρσαι πρὸς τὰς εἰσβολὰς τοῦ βασιλέως ἀπειρηκότες, καὶ τῷ μήκει τοῦ πολέμου κεκακωμένοι τὴν ἀναγκαίαν παράκλησιν εἰς τοὺς κινδύνους ἐλάμβανον. οἷς γὰρ ὁ βίος οὐκ ἐν ἡδονῇ, τούτοις οὐ βαρὺ τεθνάναι [78]. βουλόμενοι δὲ δράσαντές τι καὶ παθεῖν, καταλέγουσι μὲν ἡβηδὸν τοὺς ἄνδρας, οὐδὲ τοῖς κομιδῇ νέοις ἀνεύθυνον τὴν ἀστρατείαν τάξαντες. ἀγείρουσι δὲ τὰς γυναῖκας [79] σκευοφόρους εἶναι τῇ στρατιᾷ. ἔθνη δὲ ποικίλα βαρβάρων πρόσοικα, τὰ μὲν ἱκετείᾳ πείθουσι μετασχεῖν τῶν κινδύνων, τὰ δὲ βίᾳ καταναγκάζουσιν ὑπουργῆσαι πρὸς τὴν χρείαν. τοῖς δὲ χρυσοῦ τι πλῆθος προτείνουσιν, ὃς ἐκ παλαιῶν φερόμενος χρόνων τότε δὴ πρῶτον εἰς τοὺς ἐπικούρους ἀνηλίσκετο. ἐπεὶ δὲ πᾶσαν τὴν ἐκείνῃ [80] διερευνησάμενοι γῆν, ἐρήμους μὲν ἀφῆσαν τὰς πόλεις, πᾶν δὲ τὸ ἐν ποσὶν ἐστενοχώρουν τῷ πλήθει. μελέτην δὲ τῇ πορείᾳ μίξαντες, ἐπὶ τὸν ποταμὸν [81] ἐχώρουν. ἔγνω μὲν βασιλεὺς τὸ γιγνόμενον. πῶς γὰρ ἂν ἐλάνθανεν οὕτω μεγάλη κίνησις. κονιορτοῦ μὲν εἰς αἰθέρα μέσον ἐγειρομένου κτύπου δὲ συμμιγοῦς ἵππων τε καὶ ἀνδρῶν καὶ ὅπλων οὐδὲ τοὺς πορρωτάτους καθεύδειν ἐῶντος. τῶν δὲ κατασκόπων ὄψει τὸ πρᾶγμα λαβόντων, καὶ τὴν ἀγγελίαν οὐκ ἔξωθεν εἰκαζόντων, ἀλλ' ἐκ τῆς θέας φερόντων. ὁ δὲ ταῦτα σαφῶς ἀκούων, τὴν μὲν χρόαν οὐκ ἤμειψεν, ὡς ἄν τις ἔκπληξιν τῇ ψυχῇ δεχόμενος. βουλὴν δὲ ζητῶν εἰς τὰ παρόντα χρηστὴν, κελεύει τοὺς ἐν τῇ φυλακῇ τῶν ὅρων ἱδρυμένους μεταχωρῆσαι τὴν ταχίστην, καὶ μήτε ποταμοῦ ζευγνυμένου ταράττεσθαι, μήτ' ἀπόβασιν ἀνείργειν, μήτε τειχισμὸν κωλύειν, ἀλλὰ καὶ ταφρεύειν ἐᾶν,

[78] τε θνᾶναι] praeponit Bav. articulum τό.

[79] τὰς γυναῖκας] praeponi velim καί.

[80] ἐκείνῃ] ſic Bav. ἐκείνου Morell.

[18] τὸν ποταμὸν] Tigridem.

ἐὰν, εἰ τοῦτο βούλοιντο, καὶ χαράκωμα βαλέσθαι, καὶ περισταυρῶσαι, καὶ ναμάτων ἀφθονίαν προκαταχεῖν, καὶ τὰ τῶν χωρίων ἐπικαιρότατα προλαβεῖν. οὐ γὰρ, εἰ διαβάντες ἐγκαθίζοιεν, τοῦτο παρεῖχε[82] τὸν φόβον. ἀλλ' εἰ τὴν πρώτην ἀποκρουσθέντες, πρόφασιν εἰς φυγὴν λάβοιεν. ἔδει δὴ δελεασθῆναι τοὺς πολεμίους τῇ τῆς ἀποβάσεως[83] ἀδείᾳ. ὡς οὖν ταῦτα συνεκεχώρητο[84], καὶ παρ' ἡμῶν οὐδεὶς ἀπήντα, τριχῇ τὸν ποταμὸν γεφυρώσαντες, πυκνοὶ πανταχῇ διέβαινον. καὶ πρῶτον μὲν ἡμέρας νυξὶ συνείροντες τῆς ἀποβάσεως οὐκ ἔληγον. ἔπειτα τειχίζειν δεῆσαν, αὐθημερὸν τὸν περίβολον ἤγειραν, ὀξύτερον τῶν περὶ Τροίαν Ἑλλήνων. ἤδη δὲ διαβεβηκότων πάντα ἦν μεστά. ὄχθη ποταμοῦ. πεδίων εὖρος. ὀρῶν κορυφαί. οὐδὲν δὲ ἦν εἶδος πολεμιστήριον, ὃ μὴ τὴν στρατιὰν συνεπλήρου. οὐ τοξότης. οὐχ ἱπποτοξότης, οὐ σφενδονήτης[85], οὐχ ὁπλίτης, οὐχ ἱππεύς, οὐχ οἱ πανταχόθεν πεφραγμένοι. ἔτι δ' αὐτοῖς βουλευομένοις ὅποι τράπωνται, βασιλεὺς ἐπιφαίνεται, πᾶσαν ὁμηρικὴν εἰκόνα τῇ λαμπηδόνι[86] παρερχόμενος, καὶ θέμενος τὰ ὅπλα περὶ τοῦ παντὸς ἐσκοπεῖτο. πέρσαι δὲ τότε τοιοῦτόν τι βουλεύουσι. τοὺς μὲν τοξότας καὶ τοὺς ἀκοντιστὰς ἐπὶ τῶν κορυφῶν καὶ τοῦ τείχους ἔταξαν, τοὺς δὲ πεφραγμένους τοῦ τείχους προὐβάλλοντο. οἱ δὲ λοιποὶ τὰ ὅπλα ἀναλαβόντες τοῖς ἐναντίοις προσῄεσαν, ὡς ἀναστήσοντες. ἐπεὶ δὲ κινηθέντας κατεῖδον, εὐθὺς ἐγκλίναντες ἔφευγον, ὑπάγοντες τοὺς διώκοντας εἴσω βελῶν, ὡς ἂν ἐκ μετεώρου τοξεύοιντο. χρόνον μὲν οὖν τινα καὶ τῆς ἡμέρας τὸ πλεῖστον κατεῖχεν ἡ δίωξις. ὡς δὲ οἱ μὲν φυγόντες εἰς τὸ τεῖχος ἐνέπεσον, ἐκάλει δὲ λοιπὸν τοὺς τοξότας ὁ καιρὸς,

καὶ

[82] παρεῖχε] sic Bav. εἶχε simplex dat Morell.

[83] ἀποβάσεως] sic etiam margo Bauar. nam textum eius dat διαβάσεως.

[84] συνεκεχώρητο] sic Bav. συγκεχ. Morell.

[85] σφενδονήτης] sic Bav. σφενδονίτης Morell. arbitror vtrumque recte dici.

[86] λαμπηδόνι] λαμπρότητι Bavarici margo.

καὶ τοὺς πρὸ τοῦ τείχους ἀκραιφνεῖς, ἐνταῦθα δὴ βασιλεὺς νίκην ἐνίκησεν οὐ κατὰ τὰς εἰωθυίας ταύτας, οὐδ᾽ οἷαι πολλαὶ συνέβησαν καὶ νῦν καὶ πρότερον. οὐδὲ αἷς ἐν χερσὶ τὸ ἔργον καὶ πολεμικοῖς ὀργάνοις, οὐδὲ πρὸς ἣν δεῖ κοινωνίας, καὶ οὐκ ἂν ἑτέρως κατεργασθείη, ἀλλ᾽ ἣ καθαρῶς ἔξεστιν οἰκείαν τοῦ κρατήσαντος προσειπεῖν. τί δὲ τοῦτ᾽ ἔστιν; μόνος μὲν ἐξεῦρε τῶν δρωμένων τὸν νοῦν, μόνον δὲ οὐκ ἔλαθεν ἡ γνώμη τῆς παρατάξεως. μόνος δὲ βοήσας μένειν ἢ διώκειν [87], μηδὲ εἰς πρόδηλον ὠθεῖσθαι κίνδυνον, νῦν δὴ καὶ πλέον ἄγαμαι τῆς γνώμης τὸν ποιητὴν, ἢ πολλῶν χειρῶν ἰσχυρότερον εἶναί φησι βούλευμα σοφίας μετέχον. ἡ χρώμενος βασιλεὺς, καὶ πάντα ὁμοῦ συνεὶς, ἑώρα τὸ μέλλον οὐδὲν χεῖρον τῶν παρόντων καὶ γιγνομένων. καὶ σφόδρα γε εἰκότως. ἦν μὲν γὰρ τὸ μεταξὺ τῶν στρατοπέδων ἑκατὸν στάδιοι καὶ πεντήκοντα. ἤρξαντο δὲ τῆς διώξεως ἀγορᾶς πληθούσης [88] ἐπλησίαζον δὲ ἤδη τῷ τείχει δείλης ὀψίας. πάντα δὴ συλλογιζόμενος, τὸν ἀπὸ τῶν ὅπλων πόνον, τῆς διώξεως τὸ μῆκος, φλόγωσιν ἐξ ἡλίου, δίψης [89] ὑπερβολὴν, νύκτα ἐπικειμένην, ἐπὶ τῶν λόφων τοξότας, ἠξίου περσῶν μὲν καταφρονεῖν, πείθεσθαι δὲ τῷ καιρῷ· εἰ μὲν οὖν ἐδέξαντο τὸν λόγον, καὶ μὴ μεῖζον ἴσχυσε τῆς παραινέσεως ὁ θυμὸς, οὐδὲν ἂν ἐκώλυσε, καὶ τοὺς ἐναντίους κεῖσθαι, καθάπερ ἐν τῷ παρόντι, καὶ τοὺς κεκρατηκότας σεσῶσθαι. νῦν δὲ ὅσῳπερ ἄν τις ἐκείνοις ἐγκαλῇ, τοσούτῳ πλέον τὸν βασιλέα σεμνύνει. οἱ γὰρ [90] ἐν τῷ μὴ πεισθῆναι πταίσαντες, τὴν τοῦ παραινέσαντος συμβουλὴν κεκοσμήκασιν. ἐγὼ δὲ καλῶ μὲν κἀκείνας βασιλέων νίκας, ὅσας ἐν κοινωνίαις ἐργάζονται. πολὺ δὲ ταύτας ἐντιμοτέρας ὑπολαμβάνω, ὧν οὐκ ἔνεστι τοὺς μερίτας εἰπεῖν. ὥστε, εἰ καὶ

σφόδρα

87 μένειν ἢ διώκειν] id est μένειν μᾶλλον ἢ διώκειν.

88 πληθούσης] sic ♀ et Bav. πληρούσης Morell.

89 δίψης] δίψους Bauar. et margo Morell.

90 οἱ γὰρ] sic ♀ et Bav. οὐ γὰρ Morell.

σφόδρα φιλονεικεῖ τις, μὴ πάντα κατὰ γνώμην κεχωρηκέναι τοῖς ϛρατιώταις, ὅθεν ἂν κωλύοι τὸυς μὲν μὴ πάντα κατωρθωκέναι, τὸν δὲ πανταχȣ̃ νενικηκέναι, καὶ πρώτȣς γε ἐκείνȣς. ὧν ἄμεινον ἐβȣλεύσατο. ἄξιον δὲ καὶ τὴν τῶν μαχεσαμένων ἀρετὴν ἐξετάσαι καὶ πᾶσι ποιῆσαι καταφανὲς, ἐξ ὅσων ἐλαττωμάτων ὁρμώμενοι ποῖοί τινες ἐγένοντο. πρῶτον μὲν ȣ̓̃ν τοῖς πρὸ τȣ̃ τείχȣς πεφραγμένοις συμμίξαντες, ἐξεῦρον τρόπον τῆς ὁπλίσεως ἰσχυρότερον. ἐπιφερόμενον γὰρ τὸν ἵππον ὁ πεζὸς ἐξιϛάμενος, ἐκείνῳ μὲν κενὴν τὴν ὁρμὴν κατεσκεύαζεν, αὐτὸς δὲ ἐν τῇ παραδρομῇ τὸν ἔποχον ῥοπάλῳ παίων ἐπὶ κόρρης, ἀνέτρεπέ τε καὶ τὸ λοιπὸν εὐπετῶς εἰργάζετο [91]. ἔπειτα ȣ̓κ ἔφθησαν τῷ τείχει τὰς χεῖρας προσενεγκόντες, καὶ καθήρητο [92] τὸ πᾶν ἐξ ἐπάλξεων εἰς πρώτην κρηπῖδα, καὶ ὁ κωλύσων ȣ̓κ ἦν. περὶ πολλȣ̃ δ' ἂν ἐποιησάμην καὶ ὅϛις ἂν [93] ὁ πρῶτος τὸν περίβολον διασπάσας εἰπεῖν, καὶ διατρῖψαι περὶ τὴν ἀνδραγαθίαν. ἴσως γὰρ ȣ̓κ ἀηδέϛερον εἰς ἀκοὴν τȣτό γε τȣ̃ πυρὸς, ὃ τὴν ναῦν ἐπενείματο τὴν θετταλόν [94]. ἐπεὶ δὲ ὁ χρόνος ȣ̓ συγχωρεῖ, δεῖ δήπȣθεν ȣ̓ τȣ̃ τυχόντος δρόμȣ. ὁ μὲν ȣ̓̃ν περίβολος ἀκριβῶς ἔκειτο. οἱ δὲ εἰσεχέοντο, πᾶν μικρὸν τὸ πεποιημένον ἡγȣ́μενοι. καὶ τάς τε σκηνὰς διαρπάζȣσι τῶν ἤδη πεπονημένων ἐγγύθεν τȣ̀ς καρπȣ̀ς κομιζόμενοι, καὶ ὅσȣς ἐγκατέλαβον κτείνȣσι. μόνον δὲ τὸ πεφευγὸς διεσώζετο. τῆς δὲ τροπῆς γεγενημένης λαμπρᾶς ἐδεῖτο μὲν τὸ ἔργον λαμπροτέρας, εἴπως ἐνῆν, ἡμέρας εἰς τὸ τῶν κατορθωμάτων πέρας. ἐπεὶ δὲ εἰς νυκτομαχίαν ἐξώκειλε, τοξευόμενοι μὲν ἐκ τῶν λόφων, ἀμφίβολοι δὲ γένομενοι, δορατίων δὲ ἤδη καὶ βελῶν τοῖς σώμασιν ἐναποκεκλασμένων [95], ἀφῃρημένοι δὲ ὑπὸ

τῆς

[91] εἰργάζετο] malim κατειργάζετο.

[92] καθήρητο] καθῃρεῖτο Bav.

[93] ἂν] num leg. ἦν aut ἂν ἦν.

[94] θετταλὸν] ſic Bav. θετταλῶν Morell.

[95] ἐναποκεκλασμένων] ſic Bavar. et margo Morell. cuius textum dat ἐναποκεκλασμ.

τῆς νυκτὸς τὸ δύνασθαι χρήσασθαι σφίσιν αὐτοῖς ἀνὰ τὸ σκοτεινὸν, ὅμως χωροῦντες ὁπλῖται πρὸς ψιλοὺς πόῤῥωθεν ἰσχύοντας, καὶ πρὸς ἀκραιφνεῖς πεπονηκότες, ἄνδρας μὲν ἀγαθοὺς ἀπέβαλον, τῆς χώρας δὲ τοὺς πολεμίους ἐξήλασαν. καίτοι τίς ἂν ὑπέμεινε τὴν ἐκείνων ἀνδρίαν λογισμὸν προσλαβοῦσαν; ὅπου γε τοσούτοις ἐναντιώμασι χρώμενοι τὸ μετὰ κρείττονος διακριθῆναι τοῦ σχήματος, ὑπ᾽ οὐδενὸς ἀφηρέθησαν. τίς δ᾽ οὐκ ἂν θείη πέρσας ἡττῆσθαι περιφανῶς, οἳ διέβησαν μὲν, ὡς τῆς ἑτέρων κρατήσοντες, τοσούτων δὲ πλεονεκτημάτων ἀπολαύσαντες, ῥίψαντες τὰς ἐλπίδας, ἀπιόντες ᾤχοντο; εἴτ᾽ οὖν τῳ τὸ κρεῖττον [96] εὐβουλίᾳ γνωρίζεται, καὶ τῶν οἰκείων, καὶ τῶν ἀντιπάλων ἀμείνων ὁ βασιλεὺς, οἷς ἐβουλεύσατο. δέδεικται εἴτε τῳ τὰ ἔργα ψιλὰ δοκιμάζειν ἥδιον, οἱ μὲν τὸ στρατόπεδον ἐκλιπόντες, ἐπὶ τὴν σχεδίαν ὥρμησαν. τῶν δὲ ἡμετέρων οἱ μὲν πεσόντες ταῖς μὲν ψυχαῖς ἐνίκησαν, τοῖς δὲ σώμασιν ἀπεῖπον. οἱ δὲ ἐπανελθόντες οὐ πρότερον ὑπενόστησαν [97] πρὶν ἢ τὴν χώραν τῶν πολεμίων ἐκάθηραν. καὶ οὐ προστίθημι τοῦ χωρίου τὴν φύσιν. πλείω λυπήσασαν τῆς τῶν πολεμίων ἀλκῆς. οὐδ᾽ ὅτι πέρσαι μὲν αὐταῖς γυναιξὶ συνήραντο τοῦ κινδύνου, τῆς δ᾽ ἡμετέρας στρατιᾶς τὸ κράτιστον οὐ μετεῖχε τῆς μάχης. τρεῖς δ᾽ οὖν ὅρους θέντες, ταύτῃ σκοπῶμεν τὴν κρίσιν. ἕνα μὲν τὸν πρὸ τῆς μάχης, ἕτερον δὲ τὸν ἐν τοῖς ἔργοις, τρίτον δὲ τὸν ἐπὶ τῆς τροπῆς. οὐκοῦν τὴν μὲν ἀπόβασιν ἐποιήσαντο, καὶ τὸν ποταμὸν ἔζευξαν, οὐ βιασάμενοι τοὺς εἴργοντας. ἀλλὰ παρὰ τῶν οὐ βουληθέντων κωλῦσαι λαβόντες τὴν ἐξουσίαν. ἀποβάντες δὲ καὶ περισκεψάμενοι κρίσει τὰ καρτερὰ τῶν χωρίων κατέλαβον, ἀλλ᾽ οὐχ ὥσπερ ἐν ὅπλων ἀπορίᾳ τοῖς φανεῖσιν ἐπέδραμον.

μέχρι

[96] τὸ κρεῖττον] articulo caret Bav. siue igitur est, qui victoriam in consiliorum sapientia ponat, demonstratum est, ab Imperatore nostro tam suos milites, quam hostes esse diuictos: siue —

[97] ὑπενόστησαν] ἀπεν. Bauar.

μέχρι μὲν οὖν τούτων, ἐκείνων ἡ πλεονεξία. συνιόντων δὲ τῶν στρατοπέδων, ἀντὶ μὲν τοῦ δέξασθαι τοὺς ἐπιόντας, καὶ ποιήσασθαι τὴν μάχην ἐν χερσὶν, ἀπὸ τῆς φυγῆς ἤρξαντο. εἰς δὲ τὸν περίβολον κατακλεισθέντες οὐδ' ὑπὲρ τοῦ τείχους ἠμύναντο, ἀλλ' ἀπέβαλον μὲν τὸ φυλακτήριον, προσαπέβαλον δὲ καὶ [98] τὸν ἐν ταῖς σκηναῖς πλοῦτον. οἱ δ' ἐγκαταληφθέντες [99] ἔπιπτον μὲν οὐδενὶ κόσμῳ, ἐπεῖδον δὲ τὸν τοῦ βασιλέως παῖδα, τὸν τῆς ἀρχῆς διάδοχον, ἐζωγρημένον καὶ μαστιγούμενον καὶ κεντούμενον, καὶ μικρὸν ὕστερον κατακοπτόμενον. εἰ δέ τι που καὶ δεδράκασι, κλέμμα τὸ συμβὰν, οὐκ ἀνδραγαθία γεγένηται. τὰ μὲν οὖν ἐν τῇ μάχῃ ταῦτα. τὰ δ' ἐπ' ἐκείνῃ [100]. τοὺς μὲν νεκροὺς οὐκ ἀνείλοντο, πρὸς δὲ τὴν φυγὴν ἠπείχθησαν, τὰς δὲ γεφύρας διέλυσαν, ἀναμαχεῖσθαι δὲ τὴν πληγὴν οὐδ' ὄναρ ἐλπίζουσιν. ὁ δὲ τὰ λαμπρὰ δυνάμενος, καὶ μέχρι τῶν ἀπειλῶν γενναῖος, κόμην μὲν ἐκείνην, ἣν ἐκόσμει πρότερον, τίλλων ἐξανήλωσε. κόπτων δὲ πυκνὰ τὴν κεφαλὴν, ὀδύρεται μὲν τοῦ παιδὸς τὴν σφαγὴν, ὀδύρεται δὲ * καταλόγων [1] ὄλεθρον, δακρύει δὲ χώραν γεωργῶν ἔρημον, ἀποτέμνειν δὲ τὰς κεφαλὰς βεβούλευται τῶν οὐ καλῶς προξενησάντων αὐτῷ τὴν ῥωμαίων [2] εὐδαιμονίαν. ταῦτα οὐχ ἡμέτερος λόγος εἰς χάριν συγκείμενος, ἀλλ' αὐτόμολοι τὰ σώματα προβαλλόμενοι διαῤῥήδην ἀγγέλλουσιν, οἷς οὐκ ἔνεστιν ἀπιστεῖν. οὐ γὰρ κινδύνων ψευδολογίᾳ τέρπουσι. ταῦτ' οὖν οὐκ ἀμφισβητήσιμόν ἐστι ποιοῦντα τὴν μάχην [3], ὥσπερ τὴν ἐν τανάγρᾳ, καὶ νὴ δία γε τὴν ἐν ὀρεστίδι τεγεατῶν καὶ μαντινέων. ἔχω δὲ λέγειν πολὺ τούτου μεῖζον, ᾧ μηδ' ἂν αὐτὸν ἀντειπεῖν οἶμαι τὸν περσῶν δυνάστην. ὅτι μὲν γὰρ ἐν [4] τῇ νυκτο-

98 καὶ e Bauarico addidi.

99 ἐγκαταληφθέντες] sic Bavar. ἐγκαταλειφθ. Morell.

100 ἐπ' ἐκείνῃ] μετ' ἐκείνην margo Bauarici.

1 καταλόγων] legionum. sic dedi de meo. in Bav. est κατὰ λόγων. in Morell. κατὰ λόγον.

2 τὴν ῥωμαίων] interponit Morell. τῶν, quod Bav. omittit.

3 μάχην] νίκην Bauar.

4 ἐν] ἐπὶ Bav.

νυκτομαχίᾳ πάλιν ἀπῆλθον οἱ λειπόμενοι [5], παρ' ἀμφοτέρων ὁμολογεῖται [6]. τούτου δὲ οὕτως ἔχοντος δυεῖν ἀνάγκη θάτερον, ἢ κρατηθέντας φυγεῖν, ἢ κρατήσαντας ὅμως εὐλαβηθῆναι τὸ μέλλον. εἰ μὲν οὖν τὸ πρότερον θείημεν, καθαρῶς ἡ νίκη μεθ' ἡμῶν ἕστηκεν. εἰ δὲ τῇ νυκτομαχίᾳ τὸ πλέον σχόντες, οὐκ ἐθάῤῥησαν ἐπεξελθεῖν τὰ λοιπά. πολὺ πλέον ἡ νίκη τοῦ βασιλέως γίγνεται. οἱ γὰρ τῶν μὲν συμβαλόντων κρατήσαντες, πρὸς δὲ τὴν ἐκείνου δεξιὰν οὐκ ἀντάραντες, δῆλον δήπου πᾶσιν ἐποίησαν ὡς οὐκ ἐν τοῖς ἑπομένοις [7], ἢ τῇ φύσει τὴν ἰσχὺν ὁ βασιλεὺς κέκτηται, ὃ τοίνυν ἐν μὲν τοῖς πολέμοις τοιοῦτος, ἐν δὲ τοῖς λοιποῖς οὐδεμίαν παρέχων εἰς εὐφημίαν ἀφορμήν. ἀλλ' οὕτως ἐν τοῖς ὅπλοις λαμπρὸς, πλέον ἀμείνων ἐστὶν ἐν τοῖς λοιποῖς, ἢ τοῖς ὅπλοις, ὥστ' ἐξεῖναι λέγειν βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής. οὐ γὰρ, εἰ μᾶλλον ἑτέρων ἀγριαίνων ὀφθείη, τοῦτο βελτίων φαίνεσθαι τῶν ἄλλων ἡγεῖται [8]. ἀλλ' εἰ πλέον τῶν ἄλλων πρᾳότητι χαίρων μηδὲν ἧττον ἁπάντων κρατοίη [9]. οὐδ' αὖ βασιλικὸν ὑπολαμβάνει [10] τὸ ταρακτικὸν [11] τοῦ βλέμματος, ἀλλὰ μανίᾳ πρέπειν ἡγούμενος, ἐν τοῖς νοσήμασιν ἀριθμεῖ, τὸ μὲν τραχὺ πρὸς τὰς συνουσίας, τυραννικὸν οἰόμενος [12], τὸ δὲ εὐπρόσοδον [13] τῶν τρόπων ἄρχοντος μοίρᾳ προστιθεὶς, μέγα φρονῶν, οὐκ εἰ φόβῳ συνέχει [14] τὴν βασιλείαν, ἀλλ' εἰ τῷ φίλτρῳ τῶν ἀρχο-

[5] οἱ λειπόμενοι] addit Morell. τῶν περσῶν, quod Bav. omittit.

[6] ὁμολογεῖται] ὁμολόγηται (ſic) Bav.

[7] ἑπομένοις] ſubaudi μᾶλλον.

[8] ἡγεῖται] ſic Bauar. ſic tamen, vt ο ſuper αι ſit ſcriptum. ἡγεῖτο Morell. quoque dedit.

[9] κρατοίη] ſic Bav. κρατείη Morell.

[10] ὑπολαμβάνει] ſic ♀ et Bav. ὑπολαμβάνειν Morell.

[11] ταρακτικὸν] πρακτικὸν margo Bauar.

[12] οἰόμενος] ſic Bav. et margo Morell. ἡγούμενος Morell. quod in ſe non malum ideo minus hic conuenit, quia modo praeceſſit.

[13] εὐπρόσοδον] γρ. εὐ πρόσωπον margo Morell.

[14] συνέχει] ſic libri. malim συνέχοι ob inſequens φρουροῖτο.

ἀρχομένων φέροιτο. δεινὸς εὐνοίᾳ μὲν ἀμοιβὴν, πταίσματι δὲ νεῖμαι συγγνώμην, φιλονεικίας κρείττων, ὀργῆς βελτίων, ἡδονῆς ἄρχων. οἴεται γὰρ προσήκειν μὴ τῶν μὲν πόλεων κρατεῖν, τοῖς δὲ τῆς ψυχῆς πάθεσιν ὑπηρετεῖν. τὸν γὰρ οὕτω διακείμενον οὐ μᾶλλον ἀξιοῖ δεσπότην, ἢ δοῦλον, κεκλῆσθαι, ἄτρωτος μὲν πρὸς σωμάτων ὥραν, ἀήττητος δὲ πρὸς θυμὸν ἄκαιρον, ὧν μὲν αὐτὸς εὑρίσκει, τούτων τὴν βουλὴν εἰς μέσον ἄγων. τὰς δὲ τῶν πέλας συμβουλίας οὐκ αὐθαδείᾳ φαυλίζων, ἀλλ᾽ ἔργῳ τὸν παλαιὸν λόγον βεβαιῶν, ὡς ἄρα καὶ τοῦτό γε [15] φρονήσεως τὸ τοῖς βελτίστοις εἰδέναι τὴν ψῆφον τίθεσθαι οὐ ῥαψῳδῶν εἰς μῆκος λόγον μάταιον, ἀλλ᾽ εἰς βραχύτητα ῥημάτων ὄγκον κατακλείων πραγμάτων. εἰς μὲν τὸν τῶν ἐπιτηδείων κατάλογον οὐδένα προπετῶς ἐγγράφων, οὓς δ᾽ ἐγγράψειεν ἅπαξ, οὐκ εἰδὼς ἐξαλείφειν, οὐδ᾽ ἀναλίσκων χρόνῳ τὸ φίλτρον, ἀλλ᾽ ἐπιτείνων τῇ συνηθείᾳ [16] τὸν πόθον. ὑπὲρ μὲν τῶν δικαίων κινδυνεύειν ἀοκνότατος, ἔρωτι δὲ τοῦ πλείονος ἐγεῖραι πόλεμον, ἁπάντων ἀμαθέστατος. εἰς μὲν εὐποιίας ὀξὺς, εἰς δὲ τιμωρίας μελλητής. πενίᾳ μὲν εἰδὼς ἔλεον νεῖμαι, πλούτῳ δ᾽ οὐκ εἰδὼς φθόνον προσενεγκεῖν. οὐ τοῖς ἀδικήμασι κολάσεις ἀναζητῶν, τῷ δὲ πρὸς αὐτὰ ζήλῳ τῶν ἀδικημάτων ἀποτρέπων. σωφροσύνην μὲν εἰς τοσοῦτον ἠσκηκὼς, ὥστε καὶ τῇ προσηγορίᾳ τῆς ἀκολασίας αἰσχύνεσθαι. ἐπιορκίας δὲ τοσοῦτον ἀποστατῶν, ὥστε καὶ πρὸς τὰς εὐορκίας ἔχειν εὐλαβῶς. τὸ δὲ μὴ τὴν γαστέρα λιμῷ συνεθίζειν, οὐ πόῤῥω τιθεὶς ἀνανδρίας. μεγίστοις μὲν ἀεὶ κατορθώμασιν ἐγγεγραμμένος, μέγα δὲ οὐδὲν οὐδεπώποτε φθεγξάμενος. τοῖς μὲν καιροῖς ὑπακούων ὀξέως, οὐ μέν τοι τὴν ὀξύτητα σὺν ταραχῇ ποιούμενος. οὐ πλήθει στρατιωτῶν εἰς τὴν νίκην θαῤῥῶν. τῷ δὲ τῆς εὐσεβείας συνειδότι τὰ βελτίω προσδοκῶν. οὐδὲν μὲν εἰς παρασκευῆς ἐλλείπων ἀκρίβειαν,

[15] γε deest Bauarico.

[16] τῇ συνηθείᾳ] sic Bauar. τῇ συνεσίᾳ Morell.

βίαν, πιστεύων δὲ τῷ θεοφιλεῖ πλέον, ἢ τοῖς ὅπλοις, εἰς τὸ κράτος. ἐγχειρήσεως μὲν οὐδεμιᾶς ἀποκρουσθεὶς οὐδέποτε. ῥᾷστα δὲ ἂν ἐνεγκὼν[17], εἰ καὶ σφαλεὶς ἐτύγχανεν. οὔτε λύπῃ κατηφὴς, οὔτε τῷ περιχαρεῖ μικροπρεπής. ἀλλ᾽ ἑκατέρου τὸ κατάδηλον ἀφελὼν, ἐπὶ τοῦ μετρίου σχήματος τὸ πρόσωπον καταστήσας ἔχει[18]. τὰς μὲν τῶν συνόντων ἀρετὰς ἐπαινῶν, τὰ δὲ ὡς ἑτέρως ἔχοντα τῇ σιωπῇ διορθούμενος. ὁ γὰρ ὑφ᾽ ἑτέρων ἐπιπλήξει σωφρονίζεται, τοῦτο παρὰ τοῦ δε σιωπῇ τὴν διόρθωσιν δέχεται. ὥστε δι᾽ ὧν μὲν ἐπαινεῖ, τὸ χρηστὸν ἐμφανίζει, τῇ δ᾽ αὖ πρὸς τἀναντία σιωπῇ, τὸ μὲν ἁμαρτηθὲν οὐδὲν χεῖρον ἰᾶται, τὸ δὲ τοῦ φιλαιτίου διαφεύγει βαρύ. οὐκ εἰς ὕπνον καὶ ῥᾳστώνην τῆς ἡσυχίας διατρίβων[19] τοὺς χρόνους, ἀλλ᾽ εἰς τὴν τῶν πολεμικῶν ἄσκησιν τὰς ἀναπαύλας μεθιστάς. οὐδὲ πρὸς ψυχαγωγίαν τὴν ἀπὸ τῆς ὀρχήστρας ἀσέλγειαν ἐφελκόμενος, ἀλλ᾽ ἵππων ἁμιλλητηρίων θέᾳ τὴν ψυχὴν θήγων πρὸς ἀνδρείαν. κουφότατος μὲν ἁπάντων ἵππον ἀναβῆναι, τῶν δὲ παρ᾽ ὁμήρῳ πρὸς ἐμπειρίαν τοξικὴν ὑμνουμένων ἀκριβέστερος εἰς σκοπόν. τὰς μὲν τῶν ἀρχομένων ψυχὰς ἐλευθερώσας ὡς μάλιστα[20], μέτρον δὲ τῆς συντελείας αὐτοῖς ἀποφήνας τῆς χρείας τὸ μέτρον. τοιγαροῦν εἰς τοιοῦτον τρόπον καταστήσας τὴν ἀρχὴν[21] μετ᾽ ἐξουσίας μὲν μείζονος, ἢ ἐβούλετο, διεβίω, μετ᾽ ἀσφαλείας δὲ πλείονος, ἢ τῶν ἰδιωτῶν ἕκαστος. ἀλλὰ γὰρ εἰ τὰ πλείω τῶν τούτῳ προσόντων ἀριθμησαίμεθα, οὐδενὸς τῶν ὑπαρχόντων θατέρῳ μνημονεῦσαι δυνησόμεθα. ἐπιστρεπτέον δὴ τὸν λόγον

[17] ἂν ἐνεγκὼν] sic ♀ et Bav. duobus vocabulis. vno συνενεγκων Morel. facillime fuisset lapsurus, si quam cladem accepisset.

[18] ἔχει deest Bauar. margo Morell. quoque deesse libris hoc verbum indicat. nescio an hunc ipsum Bauaricum designans.

[19] διατρίβων] sic Bav. τρίβων simplex dat Morell.

[20] post ὡς μάλιστα videtur δέους aut φόβου aut tale quid deesse.

[21] ἀρχὴν] ψυχὴν Bavar. et margo Morell.

γον πρὸς τὴν ἑσπέραν. καὶ πειρατέον γε οὕτως, ὅπως ἂν παρέχῃ[22], βραχέα μὲν ἐκ πολλῶν ἐκλέξαι, βραχέως[23] δὲ περὶ[24] αὐτῶν ἐκείνων διαλεχθῆναι. ἔχω μὲν οὖν ἐν κεφαλαίῳ τὸ πᾶν σημῆναι τοσοῦτον ἀποφθεγξάμενος, ὅτι τὸ τῆς φύσεως[25] ἴσον τῷ τῆς προαιρέσεως ἐβεβαίωσεν ἴσῳ. καὶ τὸ τῆς προσηγορίας οἰκεῖον[26] ἐπὶ τὴν τῶν πράξεων ὁμοιότητα διεβίβασε, δοὺς κἀκείνας ἀδελφὰς[27] ἀνακαλεῖν. ὥσπερ γὰρ ἐκεῖνος ἅπαντα φόβον ἐκ περσικῆς ἐφόδου προσερχόμενον[28] ἐπέσχεν, οὕτως αὐτὸς[29] τὰ περὶ τὴν ἑσπέραν ἔθνη βάρβαρα πανταχόθεν περικεχυμένα τὴν ἡσυχίαν ἄγειν κατηνάγκασε. θεοῦ δ' ἦν ἄρα τὸ μὲν τέλος ἴσον ἑκατέρῳ πρυτανεῦσαι, τρόπον δὲ διαλλάττοντα πρὸς τὸ τέλος ἑκατέρῳ δοῦναι. ὁ μὲν[30] γὰρ κινηθέντας τοὺς προσοίκους ἐπεστόμισεν, ὁ δὲ[31] οὐδὲ κινηθῆναι τὴν ἀρχὴν ἐπέτρεψεν. ὅπως[32] εἴτε τὸ πρότερον τις ἄγοι θαύματος ἄξιον, εἴτε τὸ δεύτερον ἡγοῖτο λαμπρότερον, εἴτε ἀμφοτέρων ἐπ' ἴσης ἄγαιτο, μηδέτερον ἐκπεφευγὸς εἴη τὴν παροῦσαν βασιλείαν. λέγω δὲ ἤδη μικρόν τι τὸν Θουκυδίδην μιμησάμενος. οὐ γὰρ ἀβασανίστως τὴν ἀκοὴν εὐθὺς ἐδεξάμην[33], οὐδὲ τὸ ταλαιπωρῆσαι

περὶ

[22] παρέχῃ] ſic ♀ et Bav. παρήκῃ Morell.

[23] βραχέως] βραχέα margo Morell.

[24] περὶ] malim καὶ περί.

[25] ὅτι τὸ τῆς φύσεως] addidi articulum τὸ ex ♀ et Bav. τὸ ἴσον τῆς φ. eſt aequabilitas a natura membris corporis et facultatibus mentis indita, vt τὸ ἴσον τῆς προαιρέσεως eſt temperantia et pacatio quaedam commotionum atque propenſionum animi, a prudentia imperata.

[26] τὸ τῆς προσηγορίας οἰκεῖον] id eſt conſtantiam.

[27] ἀδελφὰς] id eſt ſimiles actionibus et rebus geſtis Conſtantii, fratris ſenioris.

[28] προσερχόμενον] ſic ♀ et Bav. προσεχόμ. (ſine ρ) Morell.

[29] αὐτὸς] Conſtans puta, de qua iam orditur differere.

[30] ὁ μὲν] Conſtantius.

[31] ὁ δὲ] Conſtans.

[32] ὅπως] ſic Bav. et margo Morell. cuius in texto eſt ὥστε.

[33] εὐθὺς ἐδεξάμην] ſic Bav. in Morell. haec verba ſunt inverſa.

περὶ τὴν ζήτησιν τῆς ἀληθείας φυγών, τοῖς ἑτοίμοις προσέδραμον, ἀλλ' ἐπιπόνως [34] τε καὶ μετὰ τῆς ἐσχάτης ἀκριβείας περὶ τὸ πρᾶγμα διατρίψας, οὐκ ἂν ἀπιστηθείην εἰκότως. τίνα δὴ τὰ κατορθώματα; ἐστὶ γένος κελτικὸν ὑπὲρ ῥῆνον ποταμόν, ἐπ' αὐτὸν ὠκεανὸν καθῆκον, οὕτως εὖ πεφραγμένον πρὸς τὰ τῶν πολέμων ἔργα, ὥστε τὴν προσηγορίαν ἀπ' αὐτῶν εὑράμενοι τῶν πράξεων ὀνομάζονται Φρακτοί. οἱ δὲ ὑπὸ τῶν πολλῶν κέκληνται Φραγκοί. [τοῦτ' ἔστι [35] προσηγορία τῇ τῶν πολλῶν ἀμαθίᾳ διεφθαρμένη.] οὗτοι μὲν πλήθει πάντα ἀριθμὸν ὑπερβαίνουσιν. ἰσχύϊ [36] δὲ τοῦ σφῶν πλήθους τὴν ὑπερβολὴν παρέρχονται. τούτοις ζάλη μὲν θαλάττης οὐδὲν ἠπείρου φοβερωτέρα. κρυμὸς δὲ ἀρκτῷος ἀέρων εὐκρασίας ἡδίων. συμφορὰ δὲ μεγίστη βίος ἀπράγμων, καὶ πέρας εὐδαιμονίας οἱ τῶν πολέμων καιροί. κἂν εἴ τις ἀκρωτηριάσειε, τῷ λειπομένῳ μάχονται. καὶ οὐ τῶν κρατούντων ἡ δίωξις δέχεται πέρας. εἴτε κρατηθῆναι συμβαίη, τῆς φυγῆς τὸ τέλος ἀρχὴν ἐφόδου ποιοῦνται. γέρα δὲ ἀπονοίας καὶ τιμὰς θρασύτητος νομοθετήσαντες ἔχουσιν. ἀῤῥώστημα δὲ ὅλως τὴν ἡσυχίαν κρίνουσιν. τὸν μὲν οὖν ἔμπροσθεν ἅπαντα χρόνον οἱ τὴν πάροικον ἐκείνοις βασιλείαν λαχόντες, οὔτε λόγους εὕρισκον, οἷς πείσουσιν, οὔτε ὅπλων ἰσχύν, οἷς ἀναγκάζουσιν ἠρεμεῖν, ἀλλ' ἔδει προσιδρυμένους συνεχῶς νύκτα καὶ ἡμέραν ταῖς ἐκδρομαῖς ἀπαντᾶν, καὶ μήτε σῖτον ἔξω τῶν ὅπλων αἱρεῖσθαι μήτε τὸ κράνος ἀποθεμένους ἐπ' ἀδείας ἀναπαύεσθαι, ἀλλὰ μονονουχὶ [37] τῇ σκευῇ συμπεφυκότας σιδηροφορεῖν κατὰ τοὺς παλαιοὺς ἀκαρνᾶνας. καὶ ταὐτὸ συνέβαινεν, ὅπερ ἐπὶ τῶν προβόλων, ἐπειδὰν ἡ θάλαττα

τα

[34] ἐπιπόνως] sic etiam Bavarici margo, cuius textum dat ἐμπόνως.

[35] τοῦτ' ἐστὶ] recte videtur haec verba Morellus vncis inclusisse, vt aliena. nam αὕτη ἐστὶ προσηγορία dixisset saltim Libanius, si haec scripsisset.

[36] ἰσχύϊ] sic ♀ et Bav. ἰσχὺ Morell.

[37] μονονουχὶ] sic Bav. μονονὲ Morell.

τα ποικίλοις ἐλαυνομένη πνεύμασιν εἰς συνέχειαν ἐγείρηται κυμάτων. ὥσπερ γὰρ ἐκεῖ πρὶν καθαρῶς τὸ πρῶτον κῦμα περὶ τὰς προβόλους ῥαγῆναι, τὸ δεύτερον ἐγκαταλαμβάνει, καὶ τὸ τρίτον αὖθις, καὶ τοῦτο διατελεῖ γιγνόμενον, ἕως ἂν λήξῃ τὰ πνεύματα, οὕτω δὴ καὶ τὰ τῶν Φρακτῶν γένη τῷ τῶν πολεμικῶν ἔρωτι πρὸς μανίαν κινούμενοι πυκνὰς ἐποιοῦντο τὰς προσβολάς, καὶ πρὶν τὴν πρώτην ἱκανῶς ἀποκρουσθῆναι φάλαγγα, δεύτερος στρατηγὸς ἐπέπιπτεν. ἀλλ᾽ ἔδει καὶ τὰ τούτων ποτὲ λῆξαι κύματα, καὶ στῆναι τὴν κίνησιν βεβαίως. ἐφάνη γὰρ βασιλεὺς, ὃς τὸν ἀκόρεστον ἐκείνοις τῶν πολεμικῶν ἔρωτα πρὸς εἰρήνης ἐπιθυμίαν ἔτρεψε. κατ᾽ ἄλλο μὲν οὐδὲν, μείζω δὲ τῆς ἐκείνων περὶ τὰς μάχας προθυμίας τὴν οἰκείαν προδείξας. οὐκουν εἰς πεῖραν χειρῶν ἐλθεῖν ὑπέμειναν, ἀλλ᾽ ἤρκεσεν ὁ φόβος τὰ τῆς πείρας ἐργάσασθαι. καὶ δεξιὰς εἰς μὲν δορατίων ἄφεσιν οὐκ ἀνέτειναν, εἰς δὲ συνθηκῶν αἴτησιν προὔτειναν. τεκμήριον δέ. ἐδέξαντο παρ᾽ ἡμῶν ἄρχοντας, ὥσπερ ἐπόπτας τῶν δρωμένων, καὶ τὴν θηριώδη λύσσαν ἐκβαλόντες λογισμοὺς ἀνθρωπίνους ἐσπάσαντο, καὶ τὴν πλεονεξίαν ἀφέντες τὴν τῶν ὅρκων φυλακὴν ἐτίμησαν. πάντως δ᾽ ἂν καὶ τῆς ἐκ τῶν ὅρκων ἀνάγκης ἀπούσης τὴν ἡσυχίαν ἠγάπησαν. οὕτως εἴωθε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος κατείργεσθαι. καὶ νῦν βασιλεὺς οὐ ταῖς φύσεσι τῶν Φρακτῶν, τῷ δὲ παρ᾽ αὐτοῦ φόβῳ, τὰς ἐκείνων ὁμολογίας τηρεῖν παραδοὺς ἐν ταῖς παιόνων πόλεσιν ὑπὲρ τῶν ὅλων βουλεύεται. τοὺς δὲ ἐν τοῖς ἄνω χρόνοις ἄρχοντας ἡ Φρακτῶν αἰφνίδιος φορὰ πρὸς αὐτοὺς βλέπειν ἀναγκάζουσα οὐδὲ εἰδέναι

τὴν

[38] τὴν ἀρχὴν] id est orbem Romanum. Subitae Francorum inuasiones cum ad se solos respicere sibique intentos habere animos oculosque cum cogerent superiores imperatores Romanos, vt hi non possent orbem suum, quem ipsi regerent, obeundo lustrare ipsique suis oculis noscitare: factum ex eo est, vt illi Romani imperatores, non visu suo, sed nomine tantum tenus, auditione accepto, nossent,

τὴν ἀρχὴν [38] ἐπέτρεπεν, ἀλλ᾽ ἀκοῇ μόνῃ τὸ ὑπήκοον τοῖς κρατοῦσιν ἐγινώσκετο. τὶς [39] οὖν ἐραστὴς νίκης ἀκμητὶ γινομένης, ἐμφορείσθω τῶν παιδικῶν. ὡς οὐδείς ἐστιν ὅστις οὐκ ἀπὸ ψιλῆς ἐκπλήξεως τὴν δουλείαν ὡμολόγησε. ὁπότερον μὲν οὖν ἄμεινον, εἴτε κινουμένων κρατεῖν, εἴτε μηδὲ κινεῖσθαι παρέχειν, ψηφιζέσθω κατὰ τὴν οἰκείαν [40] ὁ βουλόμενος [41] τύχην καὶ φύσιν [42]. ὡς ὁπότερον ἂν κρατήσῃ, τοῦτο ἀμφοτέρων γίνεται. πλέον γὰρ τοῖς ἀλλήλων, ἢ τοῖς οἰκείοις μεγαλαυχοῦνται. Φρακτοὶ μὲν οὖν τοιοῦτον ὑπῆλθον ζυγὸν δουλείας. τὸ γὰρ μὴ ἔχειν ἑτέρους λῄζεσθαι, τοῦτο ἐκείνοις δουλεία. ἔστι δὲ καὶ ἄλλα βαρβάρων πάμπολλα γένη πανταχόθεν προσπεφυκότα, καθάπερ θηρία, κεκυκλωμένα [43] τὴν ἀρχὴν, τὰ μὲν μείζω, τὰ δὲ ἐλάττω, πάντα δὲ ὁμοίως δύσμαχα. περὶ ὧν τί ἂν τις πλέον φθέγξαιτο, ἢ ὅτι τὸν ὁμήρου κατάλογον τῷ σφῶν αὐτῶν ἀριθμῷ [44] παρέρχονται. οὗτοι τὰ μὲν ἔμπροσθεν κατέθεον καὶ διήρπαζον, καὶ κακῶν ἰλιάδα τοῖς προσοικοῦσι ῥωμαίων περιίστασαν, καὶ καθ᾽ αὑτοὺς θρασυνόμενοι, καὶ μετ᾽ ἀλλήλων συνιστάμενοι. ἐπεὶ δ᾽ εἶδον

[39] τὶς] malim ὅστις. quicunque igitur victoria delectatur sine sudore parta, satietur ille nunc contemplatione eius rei, cuius admiratione tenetur. Nullus enim fuit Francorum, qui non, vel mero ictus pavore atque reuerentia maiestatis Romanae, se seruum fuerit professus.

[40] οἰκείαν] sic ♀ et Bav. οἰκίαν Morell. pro sua ipsius seu fortuna, seu indole.

[41] ὁ βουλόμενος] articulum e Bavar. addidi.

[42] τύχην καὶ φύσιν] prima duo vocabula desunt Bavarico. atque ea illi codici deesse videtur Morellus indicare vncis illis voluisse, quibus ea inclusit. nam alias caussam expungare possum nullam, cur id fecerit.

[43] κεκυκλωμένα] κυκλούμενα margo Bavarici.

[44] τῷ σφῶν αὐτῶν ἀριθμῷ] τῷ τῶν ἐθνῶν ἀριθμῷ Bavar. et margo Mor. qui facile fiat vt e Bavarico duxerit, vt haec, quae gemina videtur auctoritas, reapse non sit nisi vnica. id quod saepissime vereor ne acciderit.

δον τὸ κεφάλαιον ὑποκύψαν[45], καὶ τοὺς ταράττειν εἰθισμένους ἐκπλαγέντας, ἠκολούθησαν τῇ περὶ τοῦ φόβου[46] κρίσει, καὶ πρὸς τὸ παράδειγμα σωφρονισθέντες τὰς ἐπιδρομὰς κατέλυσαν. καίτοι τί ποτ' ἂν ἔδρασεν ὁ τοιοῦτος εἰς ἀνάγκην χειρῶν ἀφιγμένος, ὅστις ἐλπιζόμενος τοὺς μανικωτάτους συνέστειλεν; οὐ τοίνυν οὐδὲ τὸν διάπλουν[47] εἰς τὴν νῆσον τὴν Βρεττανίαν σιωπῇ παρελθεῖν ἄξιον, διότι πολλοῖς ἡ νῆσος ἠγνόηται. ἀλλ' ὅσῳ πολλοῖς[48] ἠγνόηται, τοσούτῳ πλέον εἰρήσεται. ὥσθ' ἅπαντας[49] μαθεῖν ὅτι καὶ τὴν ἔξω τῆς ἐγνωσμένης βασιλεὺς διηρευνήσατο. οἶμαι δ' οὐ χείρονα τροπαίου τοῦ μεγίστου φανεῖσθαι τὸν πλοῦν. ἡρόδοτος μὲν οὖν, ὁ πλείω τῶν ἀναγκαίων ἐξητακὼς, διαῤῥήδην διαμάχεται μὴ εἶναι τὸν πολυύμνητον ὠκεανὸν, ἀλλ' ὁμήρου, φησὶν, ἤ τινος ἄλλου γενέσθαι πλάσμα ποιητοῦ, καὶ οὕτως εἰς τὴν ποίησιν τὴν προσηγορίαν[50] εἰσενεχθῆναι. οἱ δὲ καὶ πιστεύοντες εἶναί που τὸν ὠκεανὸν, ἰλιγγιῶσι πρὸς τοὔνομα. ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ τοιοῦτον παθεῖν, ὥστε, εἰ μὴ καὶ γνοίη, καὶ καθελκύσειε ναῦν, καὶ ἐμβὰς κομισθείη, καὶ τοῖς[51] Βρεττανίας προσορμισθείη λιμέσι, τὸ μέγιστον ἡγεῖτο παρήσειν τῶν ἑαυτῷ[52] προσηκόντων. ἔστι δὴ λόγος, μάρτυρας τὰς ὄψεις παρεχόμενος, ὡς ἄρα μεῖζον εἰς κίνδυνον, πλοῖον στρογγύλον ὑπὲρ ἐκείνης ἀφεῖναι τῆς θαλάττης, ἢ ναυμαχίαν ἑτέρωθι συστήσασθαι[53]. οὕτω λαμπραὶ μὲν καταιγίδες εἰς οὐρανὸν κυρτοῦσι τὰ κύματα, ἐξῶσαι δὲ ὑπολαμβάνοντες ἄνεμοι πρὸς ἀπέραντον ἐκφέρουσι πέλαγος. τὸ δὲ δεινότα-

τον.

[45] ὑποκύψαν] sic ♀ et Bav. ὑποκύψειν Morell.

[46] φόβου] sic et margo Bav. cuius in texto est φοβεροῦ. pro περὶ malim παρά. seruierunt consilio a metu nato.

[47] τὸν διάπλουν] sic ♀ et Bav. τὴν δ. Morell.

[48] ὅσῳ πολλοῖς] id est ὅσῳ μᾶλλον πολλοῖς vel ὅσῳ πλείοσιν.

[49] ὥσθ' ἅπαντας] sic ♀ et Bav. pro prima voce dat Morell. ὡς.

[50] τὴν προσηγορίαν] nomen Oceani.

[51] τοῖς] sic Bav. τῆς Morell.

[52] ἑαυτῷ] αὐτῷ Bav.

[53] συστήσασθαι] συνίστασθαι Bavarici margo.

τον. ἐπειδὰν γὰρ τοῖς ἄλλοις ἅπασιν ὁ κυβερνήτης ἀντιστήσῃ τὴν τέχνην, ὑπονοστεῖ μὲν ἐξαίφνης ἡ θάλαττα. ἡ δὲ τέως μετέωρος ὑπὲρ τῶν κυμάτων ὁλκὰς ἐπὶ ψιλῆς ὁρᾶται τῆς ψάμμου κειμένη. καὶ ἢν [54] μὲν ὀξεῖαν ἀνταποστείλῃ τὴν παλίῤῥοιαν, ἀναλαμβάνει τε αὖθις τὸ σκάφος, καὶ δεῖ τὰ λοιπὰ πονεῖν τοὺς ἐμπλέοντας. ἢν δὲ μελλήσῃ πρὸς τὴν ἐπάνοδον, δύεται κατὰ μικρὸν τὸ πλοῖον ὑπεικούσης πρὸς τὸ ἄχθος τῆς ψάμμου. τούτων οὐδὲν βασιλεὺς ἐσκόπησε. μᾶλλον δὲ πάντα σαφῶς εἰδὼς, οὐκ ἀπώκνησεν. ἀλλὰ τοσούτῳ πλέον πρὸς τὴν ἀναγωγὴν ἔσπευσεν, ὅσῳ πλέον ᾔδει τὸν κίνδυνον τραγῳδούμενον. καὶ τὸ ἔτι μεῖζον. οὐ γὰρ καθήμενος ἐπὶ τῆς ἠϊόνος ἀνέμεινεν, ὥστε τῆς ὡραίας ἐπελθούσης τὸν ὠκεανὸν πραῦναι τὴν ζάλην, ἀλλ᾽ εὐθὺς, ὡς εἶχε, τοῦ χειμῶνος ἀκμάζοντος, καὶ τῶν ὅλων ὑπὸ τοῦ καιροῦ πρὸς ἄκρον ἐξηγριωμένων, νεφῶν, κρυμῶν, κλυδωνίου, οὐ προειπὼν ταῖς ἐκεῖ [55] πόλεσιν, οὐδὲ προκηρύξας τὴν ἀναγωγὴν, οὐδὲ, πρὶν ἢ πληρῶσαι τὸ ἐγχείρημα, θαυμασθῆναι βουληθεὶς ἀπὸ τῆς ἐννοίας, ἐμβιβάσας ἑκατὸν ἄνδρας, ὡς λέγεται, λύσας τὰ ἀπόγεια [56], τὸν ὠκεανὸν ἔτεμνε. καὶ πάντα εὐθὺς πρὸς εἰρήνην μετεβάλλετο. ὠκεανὸς δὲ τὸ κῦμα στορέσας, λεῖον ἑαυτὸν παρεῖχε τῷ βασιλεῖ περαιοῦσθαι. ἡ δὲ συνήθης ἐκείνη τῆς θαλάττης ἀναχώρησις τότε δὴ τὸν νόμον ἀνελοῦσα τὴν χώραν ἐφύλαξεν. οὐ τοίνυν ἡ μὲν ἐπὶ τὴν νῆσον διάβασις οὕτως εἰρηνικῶς, ὁ δὲ ἀπόπλους ἑτέρως ἐχώρησεν. ἀλλ᾽ ἀμείνω τὰ δεύτερα τῶν προτέρων ἀπήντησε, τὴν παροιμίαν σώζοντα, ὥστε μηδεμίαν ἀμφισβήτησιν ὑπάρχειν, ὡς ἀθεεὶ [57] ταῦτα ἐκεῖνος νεανιεύεται, εἰ μὲν τοίνυν ἀφεστηκυίας τῆς νήσου,

καὶ

[54] ἢν] id eſt ἐάν. ſic ♀ et Bav. ἢ Morell.

[55] ἐκεῖ] ἐκείνῃ Bav.

[56] ἀπόγεια] ἔγγεια margo Bav.

[57] ὡς ἀθεεὶ] ſic libri. Sed videtur οὐκ interponendum. neſcio quoque, an pro praeſenti νεανιεύεται ſufficiendum ſit νενεανίευται in perfecto, aut ἐνεανιεύετο in imperfecto.

καὶ τῶν οἰκητόρων νεωτεριζόντων, καὶ τῆς ἀρχῆς περικοπτομένης, καὶ τῆς ἀγγελίας ἐλθούσης, θυμῷ πρὸς τὴν ἀκοὴν καταληφθεὶς, ἀνέῤῥιψε τὸν περὶ τοῦ πλοῦ κύβον, οὐκ ἂν ἦν εἰς φιλοτιμίαν γνώμης τὴν τόλμαν ἀνενεγκεῖν. ἀλλ᾽ ἡ παρὰ τῶν ἀφεστηκότων ἀνάγκη τὸ πλέον τῆς εὐκλείας ἀφῄρει. νῦν δὲ, καθεστηκότων μὲν τῶν ἐν Βρεττανίᾳ πραγμάτων, ἀδείας δὲ ὑπαρχούσης ἀπὸ γῆς τέρπεσθαι τοῖς ὠκεανοῦ θαύμασιν, οὐδενὸς δὲ καταναγκάζοντος ἀνάγεσθαι φόβου μείζονος, οὗ τὴν βλάβην ἔδει φέρειν ἀποκνοῦντα τὸν πλοῦν, τούτων οὕτως ἐχόντων, καὶ παρούσης οὐδεμιᾶς ἀνάγκης, μᾶλλον δὲ, μιᾶς μόνης παρούσης ἀνάγκης, τῆς τοῦ πᾶσιν ἐπιχειρεῖν ἐπιθυμίας, ἑκὼν τοῖς μεγίστοις κινδύνοις ἑαυτὸν ἐπέδωκεν. ὥσπερ τὰ μέγιστα ζημιωσόμενος, εἰ μὴ τὰ μέγιστα κινδυνεύσειε. θαυμαστῶν δὲ ὄντων τῶν ἔργων, πολὺ μείζων ἐστὶν ὁ πρὸ τῶν ἔργων λογισμός. ἐκεῖνος μὲν γὰρ οἴεται, μήτ᾽ ἂν πρότερον ἐκλυθῆναι ψυχὴν σώματος, πρὶν ἢ τοῦτο βουληθῆναι τὸν κρείττονα, μήτ᾽ ἂν ἐπὶ πλέον συμμεῖναι, βουληθέντος ἐκείνου λελύσθαι. καὶ μήτ᾽ ἂν πλέον βιῶναι μηδένα παρὰ τὴν φυλακὴν, μήτ᾽ ἂν ἐπ᾽ ἔλαττον παρὰ τὸ τολμᾶν. δεῖν οὖν, ὃν ἔξεστι βιῶναι χρόνον, ἀθανάτων κεχρῆσθαι λογισμοῖς. καὶ τί δεῖ δυοῖν ἢ τριῶν ἀρετῇ λεχθέντων ἢ πεπραγμένων μνημονεύειν; ὥσπερ οὐχὶ καὶ τῶν λοιπῶν ἐξ ἴσης ἐπισημαινόντων τὸ θαῦμα. ἵνα δὲ μήτε σφόδρα ῥᾴθυμος εἶναι δοκοίην μήτε τοῖς ἀδυνάτοις ἐπιχειρεῖν, οὔτε πάντων ποιήσομαι τὴν μνήμην ἐφεξῆς, οὔτ᾽ ἐπ᾽ ὀλίγων κομιδῇ στήσομαι. ἐκείνῳ τοίνυν ἡμέρα μὲν ἐν ἔργοις, νὺξ δὲ ἐν ἴσῳ ταῖς ἡμέραις, μέθη δὲ ἀπελήλαται, καὶ τὸ νήφειν ἐν συνηθείᾳ, ἀργὸς δὲ ἅπας ἔχθιστος. ὁ δ᾽ ἐγρηγορὼς ἐπιτήδειος. φρουρὰν δὲ σώματος οὐκ αὐτὸς ἔχει τὴν παρὰ τῶν δορυφόρων, τὴν δὲ παρ᾽ αὐτοῦ τοῖς δορυφόροις παρέχει. ἐπειδὰν γὰρ αἴσθηται κατειλημμένους ὕπνῳ πολλῷ, τοῖς μὲν οὐκ ἀσύγγνωστον τὴν ἀνάπαυλαν ἀφίησιν. αὐτὸς δὲ ὥσπερ ἀνταγωνιζόμενος τῇ φύσει, τὸ δόρυ λαμβάνων, περίπολον αὐτὸν τῶν

Βασι-

βασιλείων καθίσησιν. ὁ δὲ πόνος συνεχὴς τέταται διὰ πάσης ὥρας ἔτους καιρῶν ἁπάντων. ὅμηρος μὲν οὖν φησί που λέγων εἰς τοὺς ἀχαιοὺς, ἐπεὶ οὔ σφι λίθος χρὼς, οὐδὲ σίδηρος. εἰ δέ γε τούτῳ συγγεγονὼς ἐτύγχανε, πάντως οὐδ' ἂν τὴν ἐξ ἀδάμαντος εἰκασίαν εἰς τὴν τοῦ σώματος στεῤῥότητα λαβεῖν ἀπηξίωσεν. οὔτε γὰρ θέρμαις θεριναῖς εἰς ἀσθένειαν ἐκλύεται, οὔτε χειμερίοις κρυμοῖς εἰς νάρκην συστέλλεται, οὔτε χάρισιν ἠρινοῖς πρὸς ἀπόλαυσιν τέρψεως ἄγεται, οὔτε φθινοπώρου δώροις εἰς τρυφὴν καθέλκεται. ἀλλὰ μία τρυφὴ, μία πανήγυρις, σῶφρον ἐργάσασθαι τὸ ὑπήκοον, περίφοβον τὸ ἀλλόφυλον [58]. ἁμιλληθῆναι τοῖς ὑμνουμένοις, προσθεῖναι τοῖς νενομισμένοις, κόσμον δοῦναι τῇ βασιλείᾳ μᾶλλον, ἢ παρ' ἐκείνης ἐνέγκασθαι. ἐν προσθήκῃ διορθωμάτων διεξελθεῖν τὸν βίον, ἀλλ' οὐκ ἐν τῇ τῶν κατωρθωμένων ἀπολαύσει. θέατρα μὲν οὖν καὶ σκώμματα καὶ γέλως, καὶ πᾶν θαυματοποιοῦν ἔθνος ἐν ἴσῳ τοῖς ἄγεσιν ἀπέῤῥιπται. νῆψις δὲ, καὶ τὸ πεφροντισμένον καὶ τὸ πρὸς τοὺς πόνους εὔκολον, καὶ τὸ πρὸς ἀρετὴν εὐφυὲς, καὶ πᾶν τὸ τοιοῦτον ἐν πρώτοις ἄγεται. γυναικῶν δὲ κάλλος ἅπαν κεκράτηται. ὁ δὲ δωροφορῶν [59] ἀπὸ μὲν τῆς δόσεως οὐδὲν [60] ἐντιμότερος. πεῖραν δὲ τῆς γνώμης παρέχων ἀπ' εὐνοίας μᾶλλον τεθαύμασται. μέλλον δὲ ἅπαν [61] ἐγχείρημα λέληθεν, εἷς δὲ πρόοιδεν, ὃς [62] καὶ ἐβούλευσεν. ἔγνωσται δὲ οὐδὲν ὃ μὴ τετέλεσται [63]. ἐξόδων δὲ καὶ πάλιν ἀναχωρήσεων ἀμοιβαῖα τάχη τὰς τῶν πολλῶν δόξας ἀποσφάλλει.

[58] ἀλλόφυλον] ἀλλότριον Bav. et margo Morell.

[59] δωροφορῶν] ſic margo Morell. cum ἴσως. δωρϋφορῶν Bav. (ſic). δορυφορῶν Morell. textum.

[60] οὐδὲν] ſic Bav. et margo Morell. nihilo maioris ideo fit, ſcil. quam ſi nil dediſſet. οὐδενὸς dat textum Mor.

[61] ἅπαν] malim ἅπαντας. vt oppoſitio inter εἷς hoc ſit lucu- lentior vel copulari ambo iſta poſſunt. ἅπαν ἅπαντας ἐγχείρημα.

[62] ὃς] *qui*, ſic ♀ et Bav. ὡς Morell.

[63] μὴ τετέλεσται] videtur καὶ interponendum.

λει. ἐν βασιλείοις ἱδρῦσθαι νομιζόμενος, ὀρῶν ὑπερβάλλει κορυφὰς, ὁδοιπορεῖν νομιζόμενος ἐν βασιλείοις βουλεύεται. πλεῖν δοκεῖ θάλατταν, ὁ δὲ πεζεύων προσέρχεται. πεζεύειν δοξάζεται, ὁ δὲ γῆν ἀποκρύψας πελάγιος φέρεται. καὶ ταῦτα μὲν τοιαῦτα καὶ τοσαῦτα διεξέρχεται, οὔτε θεραπείαν εἰς παραμυθίαν τῶν πόνων, οὔτε στρατοπέδου πλῆθος εἰς φυλακὴν ἐπαγόμενος, ἀλλ᾽ εὐαριθμήτους δή τινας ἐξευρὼν, οὓς [64] ἐπίστευεν ἀκολουθήσειν τῷ τάχει, τούτοις προειπὼν ἕπεσθαι, ᾗ ἂν ἡγῆται [65], καθάπερ αὐτός τε πτεροφυήσας καὶ τοὺς ἑπομένους πτερώσας, ὀξύτερον νοήματος ἵεται πανταχῇ. καὶ τί ἄν τις ἄμεινον ζητήσειεν; οὐ γὰρ ἔχων οἷς τισι πολεμίοις συμβάλλοι [66], κατὰ τῶν θηρίων ὁπλίζεται, καὶ τῆς ἐν πολέμοις ἀνδραγαθίας οὐχ εὑρίσκων τὸν καιρὸν, ἐπὶ τῶν εἰδώλων [67] τὴν ἀρετὴν ἐπιδείκνυται. ἐν ἡλίῳ μὲν καθαρῷ τὸ σῶμα γυμνάζων, τὴν δὲ συμμιγῇ [68] σκιὰν εἰς θρύψιν ὑποφέρειν τοὺς χρωμένους ἡγούμενος. ὅλως τε βασιλεὺς ἐθέλει κεκλῆσθαι τῷ τῆς ἀρετῆς ὑπερβάλλοντι μᾶλλον, ἢ τῷ τῆς τύχης βελτίονι. ἀμφοτέρων δ᾽ ἄν τις ἐκεῖνο θαυμάσειεν ὅτι τὴν τῆς ψυχῆς ἁρμονίαν σύμφωνον πρὸς τὸν τῶν ὑπηκόων τρόπον ἡρμόσαντο. καθάπερ γὰρ οἱ τῶν ἰατρῶν ἀγαθοὶ καὶ τὴν προσηγορίαν τῇ τέχνῃ βεβαιοῦντες, οὐ μιᾷ φαρμάκων ἰδέᾳ καθ᾽ ἁπάντων κέχρηνται σωμάτων, ἀλλ᾽ ὁρῶντες [69]

τὸ

[64] ὣς] sic ♀ et Bav. οἷς Mor.

[65] ἡγῆται] sic Bav. ἡγεῖται Morell.

[66] συμβάλλοι] vnum λ detrahunt Bav. et margo Mor.

[67] εἰδώλων] venationes a multis veterum auctorum praedicantur, vt simulacra bellicae virtutis, ad eamque praeparatio atque institutio quaedam et praeexercitatio artium bellicarum.

[68] συμμιγῇ] videtur συμμυχῇ (per υ vel χ) melius conuenire. συν in compositis saepe idem valet atque ἐν. vt itaque idem sit atque ἐμμυχής. pro quo dicere amant ἐνδόμυχος. in latebris versantem. a μύχος recessus.

[69] ἀλλ᾽ ὁρῶντες τὸ διάφορον] καὶ γὰρ ὁρῶντες διάφορον Bav.

τὸ διάφορον, ἐκεῖθεν τὸ τῶν φαρμάκων ἀνευρίσκουσιν οἰκεῖον, καὶ τηνικαῦτα μάλιςα τὰ τῆς ὑγιείας συμβαίνει καθαρῶς, ἡνίκα ἂν ἀμφοῖν [70] ἡ συμφωνία σωθῇ. οὕτω καὶ βασιλεία μετ᾽ ἐπιςήμης ἐπὶ τὴν ἀρχὴν ἰοῦσα τῇ τῶν ἀρχομένων ἕξει τὸ σύμμετρον πορίζεται. καὶ ἤν τε δριμυτέρων, ἤν τε καὶ πρᾳοτέρων δέῃ φαρμάκων, ἑκατέρου τὸν καιρὸν οὐκ ἀγνοήσει. ὥςε εἴπερ αὐτοῖς ἐπῆλθε πρὸς ἀλλήλους ἀμεῖψαι τὰς ἀρχὰς, πάντως ἂν [71] καὶ τὰς ἀλλήλων ἁρμονίας. ἔοικα δὲ τὰ μέγιςα δοκῶν λέγειν μηδέπω καὶ νῦν εἰρηκέναι τὸ μέγιςον. πρότερον μὲν γὰρ ταῖς βασιλείαις ἁπάσαις ὁ φθόνος παρεπεπήγει, καὶ οἵ τε τὰς ἐλάττους ἔχοντες τοῖς τὰ μείζω κεκτημένοις ἐπεβούλευον, οἵ τε τῶν μειζόνων ἀπολαύοντες τοῖς τὰ μικρὰ καρπουμένοις καὶ τῶν ἐλαττόνων ἐφθόνουν. ἀλλὰ μὴν αἵ γε τῶν δυναςειῶν ἰσότητες καὶ πολὺ μειζόνως ἔτρεφον τὸ νόσημα. καὶ φύσεως μὲν θεσμὸς [72] τυραννικῆς ἐπιθυμίας δεύτερος ἐκέκριτο, τὸ δὲ οἰκεῖον ἅπαν παρανοίας ἔγεμεν ἐφ᾽ ἑαυτὸ, καὶ τῶν συμφορῶν αἱ μέγιςαι περὶ τὰς βασιλείας ὑμνοῦνται συμβῆναι. ὅθεν μοι δοκοῦσιν ἐπαρθέντες οἱ ποιηταὶ καὶ μέχρι τῆς οὐρανίας ἁψῖδος τὰς ἐπιβουλὰς ἀνενεγκεῖν. ἀλλὰ νῦν ἅπας μὲν ὁ παλαιὸς χρόνος [73] ἥττηται, ἅπας δὲ φθόνου χαλεπὸς ὀφθαλμὸς ὑπερώριςαι. φιλίας δὲ σύνδεσμος ἀῤῥαγὴς τὰς τῶν βασιλέων συνέχει ψυχάς. ἡ δὲ ἀρχὴ τοῖς μὲν τόποις διῄρηται, ταῖς δὲ εὐνοίαις συνάπτεται. καὶ τὸ τῆς οἰ-

κειότη-

[70] ἀμφοῖν] corporis aegri puta, quod medicamentis recreandum est, et medicamentorum.

[71] πάντως ἂν] scil. ἐπῆλθεν αὐτοῖς καὶ τὰς ἀλλ. ἁρμ. ἀμεῖψαι.

[72] φύσεως θεσμὸς h. l. appellatur ea naturae lex, quae imperat, vt fratres inter sese ament.

[73] χρόνος] exempla, quibus vetus scatet historia, insectationum mutuarum, quibus et fratres, et necessarii, et aemuli inter se saeuierunt, nunc victa, id est nulla sunt. nescio an ad Iouis in Saturnum insidias respiciat.

κειότητος ὄνομα πιστοῦται τοῖς ἔργοις. τοσοῦτον γὰρ ἀπέχουσι τοῦ τοῖς ἀλλήλων ἀγαθοῖς ἀλγεῖν, ὥστε ἑκάτερος θατέρῳ τῶν πρωτείων ἀφίσταται. ἵπποι δὲ καὶ τέτρωρα παρ' ἡμέραν ταῖς διαδοχαῖς τὸ τάχος ἐπιτείνοντα, τὰς ἑκατέρων παρ' ἀλλήλους [74] διαπορθμεύει γνώμας. καὶ τῶν ἐκπεμπομένων ἕκαστος δι' ἴσης τῆς ἐξουσίας ἑκατέραν ἀρχὴν ἐπέρχεται. τὸν δὲ χῶρον, ἐν ᾧ τὰ τῶν βασιλέων [75] τμήματα συγκεράννυται, οὐ στρατοπέδων φρουρεῖ καθέδρα συνεχής, ἀλλ' ἀδόλου πίστεως ἰσχὺς ἀκίνητος. καὶ τί δεῖ πόρρωθεν ζητεῖν τὴν ἀπόδειξιν τοῦ πάντα τε ἐκείνους κοινὰ κεκτῆσθαι, καὶ κοινοὺς ὑφ' ἁπάντων ἄγεσθαι δεσπότας. αὐτὸ γὰρ τὸ νῦν γιγνόμενον τίνος εἰς μαρτυρίαν οὐκ ἄμεινον; λόγος εἰς εὐφημίαν κοινὸς μὲν ἀμφοῖν προβληθεὶς, κοινὸς δ' ἀμφοῖν ἐργασθείς. ὡς οὐκ ὂν σφαλερὸν εἴ τις ἀμφοτέρους ἐξ ἴσης θαυμάσειε. μᾶλλον δ', ὡς οὐχ ὅσιον ὄν, εἰ μή τις ἀμφοτέρους θαυμάσειεν ἐξίσης. ἆρ' οὖν, αὐτοὶ μὲν ἀντὶ τοῦ φθονεῖν ταῖς ἀλλήλων εὐπραξίαις, ἀλλήλους δορυφοροῦσιν, οἷς δὲ δυνάμεις ἐνεχείρισαν [76], ὑπὸ τούτων εἰς κινδύνους κατέστησαν, οἷα τὰ πρόσθεν λέγεται συμπεσεῖν πολλάκις, τῶν μὲν μεγέθει χρημάτων, τῶν δὲ ταῖς στρατηγίαις εἰς ἐπανάστασιν χρησαμένων [77]. ἀλλὰ καὶ τοῦτο τῶν παρόντων ἐξαίρετον. οὐδεὶς γάρ ἐστιν, ὅστις οὐκ ἂν δέξαιτο τεθνάναι πρότερον, ἢ περὶ τὸν πιστεύσαντα γενέσθαι πονηρός. οὐδεὶς δὲ, ὅστις οὐκ ἂν ἕλοιτο καταποντίσαι τὰ ὄντα πρότερον, ἢ νεωτέρων πραγμάτων χορηγίαν ποιήσασθαι. καίτοι πρότερον μὲν οἱ βοηθέντες ἐπὶ χρήμασι τῶν νῦν μέσως ἐχόντων εἰς εὐπορίαν καταδεέστερον ἐπλούτουν. νῦν δὲ οἱ μέσως ἔχοντες τῶν πρότερον βασιλέων ἀφθονώτερον διάγουσιν. ἀλλ' ὅμως οὐκ ἐκφέρει πρὸς θρασύτητα τὴν γνώμην τὸ τῆς περιου-

[74] ἀλλήλους] sic Bav. et margo Mor. cuius textum dat ἀλλήλοις.

[75] βασιλέων] num βασιλειῶν. *imperiorum.*

[76] ἐνεχείρισαν] sic ♀ et Bav. ἐνεχείρησαν Morell.

[77] χρησαμένων] κεχρημένων margo Bav.

περιεσίας ὑπέρογκον. τί ποτ' ὖν αἴτιον τῆς τε προτέρας ἀγκωμοσύνης καὶ τῆς νῦν εὐγνωμοσύνης; ὅτι τότε μὲν τὸ τῦ δημοσθένες συνέβαινε, καὶ μείζων ἦν ὁ τῦ μέλλοντος φόβος τῆς παρέσης χάριτος, καὶ τὰς δόσεις αἱ δημεύσεις κατελάμβανον. ἐῴκει δὴ τὸ γιγνόμενον εὐρίπε ςροφαῖς. εἰς γὰρ τὸν δεδωκότα τὸ δῶρον ἐπανήρχετο μετὰ τῦ προςείψασθαι τῷ λαβόντι συμφοράν. ὅκεν εἴα τῦ μέλλοντος τὸ δέος ἠρεμεῖν τὸν δεξάμενον. ἀλλὰ μία σωτηρίας ἐλπὶς ὑπέκειτο, τὸν δεδωκότα διαφθεῖραι. νῦν δέ γε πολὺς μὲν ἐκ βασιλέων πλῦτος εἰς τὲς ὑπηκόες μεταῤῥεῖ. πανταχῦ δὲ τὸ βέβαιον τῇ φιλοτιμίᾳ συνέζευκται, καὶ τοῖς λαμβάνεσιν ἐ μείζων ἡδονὴ τῦ λαβεῖν ἢ τῦ μετ' ἀσφαλείας ἔχειν. ἕτερον δέ γε πολὺ [78] τέτε σεμνότερον, καὶ τὸ κέρδος εἰς ἅπαντας ἐκτεῖνον. εἰ γάρ τις ἔροιτο ὁντινῦν, τί μάλιςα βαρύτατον ἀνθρώποις τῶν εἰωθότων λυπεῖν ἐν αἰχμαλώτῳ τύχῃ, εὐθὺς ἂν ἐδὲν περισκεψάμενος εἴποι τὴν τῶν γυναικῶν αἰσχύνην. τῦτο τοίνυν ἐν μὲν ταῖς ἀνωτέρω βασιλείαις ἐκ ἀπετέτραπτο, ἀλλ' ὥσπερ τὲς φόρες ἐκλέγειν ἐπὶ τοῖς νενομισμένοις ἐτέτακτο, ἕτω καὶ τὰ τῆς ἁρπαγῆς τῶν γυναικῶν εἰς ἔθος ἀφῖκτο, καὶ οἱ τὲς πολεμίες ἀνείργοντες τῷ τῆς ἐλευθερίας σχήματι τὰς τῶν ἀνδραποδισμῶν συμφορὰς ἀνεμίγνυσαν, ἐδὲν ἀπεοικότες κυνῶν, γενναίων μὲν πρὸς τὲς λύκες, ὠμῶν δὲ πρὸς τὰ ποίμνια. ἀλλὰ νῦν ἅπας μὲν φόβος τῶν γάμων ἀπελήλαται [79], ἀσφάλεια δὲ τὰς τῶν γενῶν διαδοχὰς μετ' εὐθυμίας [80] παραπέμπει, σωφροσύνη δὲ τρόπων ἐχ ἡττᾶται τυραννικῆς ἀνάγκης. γυναικὸς δὲ ὥρᾳ [81] ἐνευτυχεῖν [82] ἀκίνδυνον. εὐνὴ δὲ πᾶσα καθ' ἅπασαν γῆν

[78] πολὺ] πολλῶν margo Bav. voluit πολλῷ dare.

[79] ἀπελήλαται] ἀπελήλακται Bav.

[80] μετ' εὐθυμίας] sic Bav. πρὸς εὐθ. Morell.

[81] ὥρᾳ] sic dedi de meo. In libris est ὥραν.

[82] ἐνευτυχεῖν] composui marte meo hanc lectionem e duabus, quarum altera est in Bav. εὐτυχεῖν, altera ἐντυχεῖν in Mor.

γῆν καὶ θάλατταν, τὸ τούτων μέρος, ἀνύβριστος. τῶν τοίνυν γεωργούντων τοῖς ἀδικουμένοις, καὶ μικρὰ μὲν ἢ φαῦλα κεκτημένοις, πολλὰ δὲ φέρειν ἠναγκασμένοις, καὶ τούτου συμβεβηκότος παρὰ τὴν ἀμετρίαν τῶν πρὸ τοῦ τὴν χώραν ἀναμετρεῖσθαι ταχθέντων, καὶ πολλῆς ἀπορίας οὔσης, τῆς μὲν συντελείας κατεπειγούσης, τῆς δὲ γῆς οὐκ ἀποχρώσης. καὶ ταύταις ταῖς συμφοραῖς ἐπήμυναν, λογιστῶν δευτέρων ἀκριβείᾳ, τὴν ἐκ τῶν ἔμπροσθεν βλάβην λύσαντες. καὶ τί δεῖ λέγειν περὶ τῶν γεωργῶν, ἢ περιλαμβάνειν ἀριθμῷ τὰ τῶν εὖ πεπονθότων ἔθνη. ὅλως γὰρ ταῖς ἁπάντων ἁπανταχόθεν ἱκετείαις ἀνέῳκται τὰ βασίλεια, καὶ οὔτε γένος, οὔθ' ἡλικίας μέτρον, οὔτε τύχης ἀξίωμα πρὸς τὴν ἀπόλαυσιν τῆς φιλανθρωπίας διακέκριται ἀλλ' ἐφ' ὑψηλοῦ καθήμενοι πᾶσιν ὁμοίως κηρύττουσι θαῤῥεῖν, ὡς οὔτε νεότης, οὔτε γῆρας, οὔτε πενίας εὐκαταφρόνητον σχῆμα τῆς κοινῆς ἐπικουρίας ἀποκεκλείσεται, οὐδὲ λυμανεῖται τὸ δίκαιον οὔτε δικαστὴς δυσμενὴς, οὔτε ἀντίδικος ἰσχυρός. ἀλλὰ πρόχειρον εἰπόντι τὴν συμφορὰν, τὸν ἔλεον ἐπισπάσασθαι. ἐν τούτῳ δὴ τῷ μέρει γενόμενος ὑπερηγάσθην, ὅτι τὴν φιλανθρωπίαν ἔννομον πρυτανεύειν [83] ἠξίωσαν, καὶ οὔτε τοὺς ἀδικουμένους περιεῖδον, καθάπαξ ἀπειπόντες μὴ δεῖσθαι, οὔτε τοῖς ἐξαπατᾷν τολμῶσι [84] συνέπραξαν, πάντα ἐφεξῆς πιστεύσαντες. ἀλλ' ἐπειδὴ τοὺς μὲν ᾔδεσαν παρὰ τὴν ἀσθένειαν ἔλαττον ἔχοντας, τοὺς δ' ° ἐπὶ παρακρούσει [85] ταῖς ἱκετείαις χρησομένους, ἵνα τοὺς μὲν [86] ἀνταγωνιάσωσι

τῇ

[83] ἔννομον πρυτανεύειν] clementiam dispensare per viam legum et iuris forensis, hoc est, vt nemini gratia indulgeretur, nisi cui processus iuris ordinarius eam adiudicasset.

[84] ἐξαπατᾷν τολμῶσι] qui falso et per fraudem quererentur vt factam sibi iniuriam, et miserabiliter lamentaretur, quae facta non esset.

[85] τοὺς δ' ἐπὶ παρακρούσει] sic dedi de meo, pro τοὺς δὲ τῇ παρακρ. quod est in libris. imposturae ergo, quo fucum facerent.

[86] τοὺς μὲν] secundum ordinariam loquendi et construendi

τῇ βοηθείᾳ, τῶν δὲ τὴν ἀπάτην φυλάξοντας, τὴν τῶν νόμων ἰσχὺν τῇ φιλανθρωπίᾳ συνῆψαν [87], κώλυμα τοῦτο ταῖς παραγωγαῖς ἀνευρόντες. καὶ συμβαίνει δὴ πανταχῇ μὲν τοὺς βασιλεῖς ταῖς ἱκετείαις ἐπινεύειν, μηδεμῇ δὲ τῶν θεσμῶν τὴν ἀκρίβειαν ὑπὸ τῆς φιλανθρωπίας βλάπτεσθαι. ἀπὸ τῆς αὐτῆς δὴ γνώμης καὶ τὴν τῶν ἀμφισβητημάτων διάγνωσιν εἰς τοὺς ὑπάρχους ἀπώσαντο. σκοπούμενοι γὰρ εὕρισκον νόμων μὲν ἰσχὺν ἡττωμένην βασιλικῆς ἐξουσίας. ψυχὴν δὲ βασιλείας εἴκουσαν ὄψει δακρύων. ἔδεισαν οὖν μὴ πρὸς τὰς ἀντιβολήσεις καὶ τοὺς ὀδυρμοὺς ἐπικλασθέντες, φιλανθρωπότερα πλέον ἢ νομιμώτερα [88] κρίνωσι. καίτοι τί μεῖζον ἢ τὸ κυρίους μὲν εἶναι τῶν νόμων αὐτούς, τοὺς νόμους δὲ αὐτῶν κυριωτέρους ποιεῖσθαι; ἄρχοντας τοίνυν τοὺς εἰς τὰς πόλεις ἐκπεμπομένους οἱ μὲν ἔμπροσθεν βασιλεῖς τοὺς φονικωτάτους ἀρχικωτάτους ἐνόμιζον. ὥστε οὐκ ἦν ἐνδοξότερον πολεμίων [89] πλείονας ἢ τῶν ἀρχομένων διαφθεῖραι. νῦν δὲ τῷ μὲν ξίφει τὸ σχῆμα ἐκπληροῦται [90]. τῆς δὲ βασιλικῆς πραότητος ἐν ταῖς τῶν ὑπάρχων ψυχαῖς εἰκόνες ἐκλάμπουσι. δεῖ δὲ οὐδὲν ἀνάγκης καὶ φόνων εἰς τὸ γενέσθαι τὰ δέοντα, ἀλλ᾽ ἀρκεῖ φράσαι τὸν ἐφεστηκότα, καὶ κατὰ πόδας τὸ τέλος. ἀεὶ δὲ τοὺς προτέρους ὑπάρχους ἀναπαύοντες ἐν τῷ μέρει, δευτέρους ἑτέρους πρὸς τὰς διοικήσεις ἄγουσι. καὶ πάνυ γε εἰκότως. εἴτε γὰρ ἐπίπονόν τι τὸ χρῆμα τῆς ἀρχῆς, οὐκ ἀξιοῦσι διηνεκεῖ φορτίῳ τοὺς αὐτοὺς ἐπιτρίβεσθαι.

di rationem deberet hoc redire ad τὰς παρὰ τὴν ἀσθένειαν ἔλαττον ἔχοντας. verum sententia repugnat, postulans hoc ad τοὺς ἀδικοῦντας referri. Verum de his nihil commemoratum est paulo ante. Ergone sic leg. est. τοὺς μὲν ἀδικοῦντας ἀντανιάσωσι τῶν ἀδικουμένων τῇ βοηθείᾳ, vt iniuriarum auctores in vicem cruciarent auxilio ferendo hominibus, iniurias illas passis.

87 συνῆψαν] προσῆψαν Bav. et margo Morell.

88 νομιμώτερα] sic Bav. νομικώτερα Morell.

89 πολεμίων] malim cum articulo, τῶν πολ. ob insequens τῶν ἀρχομένων.

90 ἐκπληροῦται] simplex πληροῦται dat Bav.

βεσθαι. εἴ τε τινὸς εὐδαιμονίας μετέχον, πολλοὺς εἰς μετουσίαν τῆς εὐδαιμονίας καλοῦσιν. ἔτι τοίνυν κἀκεῖνο κατιδόντες, ὅτι πεφύκασιν αἱ μὲν τιμαὶ χρηστοὺς ποιεῖν, αἱ δὲ τιμωρίαι τοὺς πονηροὺς κολάζειν, τοὺς μὲν περὶ τὰς τιμωρίας διατρίψαντας οὐ κωλύειν ἡγήσαντο γενέσθαι πονηρίαν, ἀλλὰ τὴν ἀεὶ γιγνομένην ἐκκόπτειν, καὶ τὸ πραττόμενον ἐοικέναι ταῖς τῆς ὕδρας ἐκτομαῖς, αὐτοὶ δὲ ταῖς εὐποιίαις τὰς ἁπάντων προκατέχοντες γνώμας μᾶλλον ἔπραξαν ὅπως χρήσωνται βελτίστοις, ἢ ὅπως ἀδικοῦντας κολάσωσι. τοσαύτης οὖν ἀρετῆς ἐν μέσῳ προκειμένης, τί χρὴ μέγιστον τῶν ἁπάντων νομίσαι; πότερον τὴν εὐγένειαν, ἢ τὴν τροφήν; καὶ πότερον τὴν δικαιοσύνην, ἢ τὴν τῶν τρόπων σωφροσύνην; καὶ πότερον τὴν πρὸς τοὺς πολεμίους ἀνδρείαν, ἢ τὴν πρὸς ἀλλήλους συμφωνίαν; καὶ πότερον τὴν πρὸς ἕκαστον φιλανθρωπίαν, ἢ τὴν ἁπανταχοῦ σύνεσιν; οἵ γε καὶ πρὸς τὰς μεγίστας τῶν πράξεων οὐκ ἐνόμισαν μαντικῇ τὴν ἐλπίδα θαῤῥύνειν. οὐ πρὸς τὸ πρόχειρον, ἐμοὶ δοκεῖν, ἀπιδόντες, ὅτι πολλάκις ἐλάττων ἀναφαίνεται τῆς τοῦ μέλλοντος εὑρέσεως, ἀλλ᾽ ὅτι, κἂν εἰ τὰ μάλιστα τὸ μέλλον ἀνιχνεύοι [91], δυοῖν ἐμπόδισμα γίγνεται, φιλοτιμίᾳ τε καὶ ἀνδρίᾳ. τούς τε γὰρ ἀποτευξομένους, εἰ προείδειεν, οὐκ ἐᾷ κρείττονα τῆς τύχης παρασχέσθαι τὴν προθυμίαν, ἀλλ᾽ εὐθὺς δειλοὺς ποιεῖ τὰ χείρω προδείξασα. οἷς τε ἀπόκειται τὰ χρηστὰ, τούτους [92] ἀφαιρεῖται τὴν ἐπ᾽ ἀνδρίᾳ δόξαν. οὐ γὰρ ἀρετῇ μᾶλλον, ἢ τῷ τῆς ἐκβάσεως προδήλῳ δοκοῦσι πεπιστευκέναι. ὅσοι δ᾽ ἂν ὁμοίως [93] ἀγνοοῦντες τὸ πέρας, ἄνδρες ἀγαθοὶ γίγνονται, καὶ κατορθοῦντες θαυμαστοὶ, καὶ σφαλέντες ἄμεμπτοι. εἰ δέ τις μέλλοι τὸν προσήκοντα λογισμὸν ὑπὲρ ἁπάντων χρήσειν, μή μοι ψιλὸν ἐξεταζέτω τῶν ἐγκωμίων τὸν ἀριθμόν,

[91] ἀνιχνεύοι] sic Bav. ἀνιχνεύει Morell.

[92] τούτους] sic Bav. τούτοις Mor.

[93] ὁμοίως] siue exitus ille secundus, siue aduersus erit.

θμόν, ἀλλ᾽ ἑκάστῳ προσαγέτω τὴν τῶν εἰργασμένων ἡλικίαν. καὶ τάχα μεῖζον ἐν τῇ νεότητι τῶν πεποιηκότων, ἢ τῷ μεγέθει τῶν πεποιημένων εὑρήσει τὸ θαῦμα. δοκεῖ δέ μοι καὶ τὸ βούλημα τοῦ τὴν οἰκουμένην συστησαμένου νῦν δὴ μάλιστα σώζεσθαι. ἐπειδὴ γὰρ ἵδρυσε μὲν τὴν γῆν, ἔχεε δὲ τὴν θάλατταν, ποταμοὺς δὲ προήγαγεν, ἔδειξε δὲ νήσων περίῤῥυτον θέσιν,. πάντα μὲν εἰς τὸ δημιουργηθὲν ἐγκατέθετο σπέρματα καὶ βοσκήματα, καὶ ὅλως ὁπόσων ἔμελλεν ἀνθρωπεία δεήσεσθαι φύσις. οὐ μέντοι πάντα γε πᾶσιν ἔνειμε μέρεσιν, ἀλλὰ διῄρει τὰ δῶρα κατὰ τοὺς χώρους εἰς κοινωνίαν τοὺς ἀνθρώπους ἄγων τῇ παρ᾽ ἀλλήλων χρείᾳ, καὶ φαίνει δὴ τὰς ἐμπορίας, ὅπως τῶν παρ᾽ ἐνίοις φυομένων κοινὴν εἰς ἅπαντας ἐξενέγκῃ τὴν ἀπόλαυσιν. τοῦτο τοίνυν τὸ[94] φιλάνθρωπον βούλευμα καὶ σωτήριον πρότερον μὲν ἀνῄρητο καὶ διέφθαρτο, καὶ τὸ τῆς ἐπιμιξίας ἐν ἴσῳ τοῖς φόνοις ἀπείρητο. ὁ δὲ ἀλοὺς[95] κατεκρημνίζετο. ἐῴκει δὴ σχήματι διατετμημένῳ τὸ σχῆμα τῆς γῆς. ἀλλὰ νῦν συνῆλθε μὲν καὶ συνῆπται τὸ τέως διῃρημένον, κεκόμισται δὲ τὴν οἰκείαν τάξιν τὸ τέως διεσπασμένον. μία μὲν ἤπειρος, μία δὲ θάλαττα, κοιναὶ δὲ αἱ νῆσοι. ἀνεῳγμένοι λιμένες. ἀναπεπταμέναι πύλαι[96]. ὁλκάδες δὲ πανταχοῖ[97] τὰ πανταχόθεν κομίζουσαι στενοχωροῦσι τοὺς ὅρμους. πανήγυρις δὲ κοινὴ διὰ πάσης μικροῦ τῆς ὑφ᾽ ἡλίῳ τέταται, τῶν μὲν καθ᾽ ἱστορίαν, τῶν δὲ κατ᾽ ἄλλας προφάσεις, τῶν μὲν[98] πελάγη περαιουμένων, τῶν δὲ δι᾽ ἠπείρου θεόντων, καὶ οὔτε τῶν νείλου θαυμάτων οἱ τὴν ἑσπέραν οἰκοῦντες ἀθέατοι. τῶν τ᾽ ἐπὶ τῆς ἑσπέρας καλῶν οἱ νείλῳ προσοικοῦν-

[94] τοίνυν τὸ] sic Bav. omittens γε, quod Morellus interposuit.

[95] ἀλοὺς] peregrinus deprehensus in solo peregrino.

[96] πύλαι] angusti meatus per montes, claustra montium et totarum regionum, vt Thermopylae, vt pylae Caspiae etc.

[97] πανταχοῖ] sic Bav. πανταχῇ Morell.

[98] τῶν μὲν] sic Bav. sine καὶ, quod Morell. praeponit.

οἰκοῦντες οὐκ ἄπειροι. Φοίνικες δ' ἐν σικελικοῖς ὅρμοις, σικελιῶται δὲ πάλιν ἐν Φοινίκων λιμέσιν. ἀνεῖται δὲ ἡ τῆς ἀθηνᾶς πόλις τοῖς λόγων ἐμπόροις, ἀνεῖται δὲ τὸ Βιθυνῶν ἔθνος τοῖς ὁτιοῦν ἐπιθυμοῦσι λαβεῖν [99]. καὶ τί δεῖ σμικρολογεῖσθαι καθ' ἕκαστον, ἀλλ' οὐχὶ μίαν εἰς ἅπαντα φωνὴν ἀφεῖναι, ὅτι νῦν τὰ σωφρονοῦντα τῆς οἰκουμένης γένη καθάπερ ἐν χορῷ μίαν ἁρμονίαν ἐντειναμένα [100] συνᾴδει, δύο κορυφαίων ἐνδιδόντων τὸ μέλος. οἱ μὲν οὖν ἔμπροσθεν παυόμενοι τῶν λόγων ἐπιεικῶς ηὔχοντο πλειόνων ἀγαθῶν τυχεῖν. καί μοι δοκοῦσιν εἰκός τι πεπονθέναι. πλειόνων γὰρ ἐδέοντο μᾶλλον, ἢ τετυχήκεσαν. νῦν δ' οὐδὲν αἰτῆσαι πάρεστιν, ὃ μὴ πάλαι πάρεστιν ἡ πεῖρα. ὥστε καὶ τοῦτ' ἂν εἴη τῶν βασιλέων ἐξαίρετον, ὅτι μηδὲν ἡμῖν κατέλιπον, ὃ ζητήσομεν.

99 λαβεῖν] scil. τῶν λόγων.
100 ἐντειναμένα] sic ♀ et Bav. ἐκτεν. Morell.

LXI.

ΜΟΝΩΙΔΙΑ ΕΠΙ ΤΩΙ ΕΝ ΔΑΦΝΗΙ ΝΕΩΙ ΤΟΥ ΑΠΟΛΛΩΝΟΣ, ΑΝΑΛΩΘΕΝΤΙ ΠΥΡΙ. ΩΣ ΦΑΣΙ ΔΕ ΚΕΡΑΥΝΩΙ.

Ἄνδρες, ὧν τοῖς ὀφθαλμοῖς ἀχλὺς κατακέχυται, ὥσπερ νῦν καὶ τοῖς ἐμοῖς, μήτε καλὴν, μήτε μεγάλην καλῶμέν ἔτι [1] τήνδε τὴν πόλιν. ὁ μὲν δὴ πέρσης ἐφ' ἡμᾶς

1 καλῶμεν ἔτι] sic Bav. invertit Morell.

ἡμᾶς στρατὸν ἀγαγὼν, ᾤετο βέλτιον εἶναι σεσῶσθαι τὸν νεὼν, καὶ τὸ κάλλος τοῦ ἀγάλματος ἐκράτει θυμοῦ βαρβαρικοῦ. νῦν δὲ, ἥλιε, καὶ γῆ, τίς ἢ πόθεν ὁ πόλεμος οὗτος, ὃς οὐχ ὁπλιτῶν, οὐδ᾽ ἱππέων, οὔτε ψιλῶν τινῶν δεηθεὶς, μικρῷ σπινθῆρι πάντα ἀνάλωσε; καὶ δὴ τὸν νεὼν ἡμῖν ὁ μὲν πολὺς ἐκεῖνος κατακλυσμὸς οὐ παρέσυρεν, ἐν αἰθρίᾳ δὲ, καὶ τῆς νεφέλης παρελθούσης, κατενήνεκται. εἶτα διψώντων μέν σοι τῶν βωμῶν αἵματος, ἔμενες, ἄπολλον, φρουρὸς ἀκριβὴς τῆς δάφνης, καὶ ῥαθυμούμενος, ἐστὶ δὲ ὅποι καὶ προπηλακιζόμενος, περικοπτόμενός τε τὸν ἔξω κόσμον, ἠνείχου. νῦν δὲ μετὰ πολλὰ μὲν πρόβατα, πολλὰς δὲ βοῦς, στόμα βασιλέως ὅσιον τῷ ποδὶ δεξάμενος, ἰδὼν, ὃν προὔλεγες, ὀφθεὶς ὑπὸ τοῦ μεμηνυμένου, πονηροῦ γειτονήματος [2] ἀπαλλαγεὶς, νεκροῦ τινος ἐνοχλοῦντος ἐγγύθεν, ἐκ μέσης τῆς θεραπείας ἀποπεπήδηκας. πόθεν ἔτι φιλοτιμησόμεθα [3] πρὸς ἄνδρας ἱερῶν μεμνημένους [4] καὶ ἀγαλμάτων. οἵαν, ὦ Ζεῦ, γνώμης καμνούσης ἀφῃρέθημεν ἀνάπαυλαν. ὡς καθαρὸν μὲν θορύβων ἡ δάφνη χωρίον, καθαρώτερον δὲ ὁ νεὼς, οἷον λιμένος ἐπὶ λιμένι παρ᾽ αὐτῆς πεποιημένου τῆς φύσεως. ἀκυμάντων μὲν ἀμφοῖν, πλείω δὲ τὴν ἡσυχίαν τοῦ δευτέρου παρεχομένου. τίς μὲν οὐκ ἂν αὐτόθι νόσον ἀπέδυ, τίς δ᾽ οὐκ ἂν φόβον, τίς δ᾽ οὐκ ἂν πένθος; τίς δ᾽ ἂν ἐπόθησε τὰς τῶν μακάρων νήσους; ὀλύμπια μὲν οὐ μάλα πόῤῥω, συγκαλέσει δὲ ἡ πανήγυρις τὰς πόλεις. αἱ δὲ ἥξουσι βοῦς ἄγουσαι [5] τῷ ἀπόλλωνι θυσίαν. τί δράσομεν; ποῖ καταδυσόμεθα; τίς ἡμῖν θεῶν διαστήσει τὴν γῆν; ποῖος κῆρυξ, ποία σάλπιγξ οὐχ ὑποκινήσει δάκρυα; τίς ἑορτὴν ἐρεῖ

τὰ

[2] πονηροῦ γειτονήματος] templum S. Babylae significat, ab ipso Iuliani fratre, Gallo Caesare conditum.

[3] φιλοτιμησόμεθα] in indicatiuo, per omicron. sic Bav. per ω Morell.

[4] ἱερῶν μεμνημένους] id est paganos nostros, cultui deorum adhuc deditos.

[5] ἄγουσαι] ἄγοντες Bav. qui tamen modo ante αἱ δὲ seruat, non οἱ δὲ dat.

τὰ ὀλύμπια, τȣ̃ πτώματος ἐγγύθεν ἐπεμβάλλοντος ὀδυρμόν; δὸς τόξα μοι κερȣλκὰ, φησὶν ἡ τραγῳδία. ἐγὼ δὲ λέγω, καὶ μαντικῆς τι μικρὸν, ὅπως τῇ μὲν [6] ἕλω, τοῖς δὲ τοξεύσω τὸν δράσαντα. ὦ τόλμης ἀσεβȣ̃ς; ὦ ψυχῆς μιαρᾶς; ὦ θρασείας χειρός; τιτυός τις ȣ̃τος ἕτερος, ἢ ἴδας, ὁ ἀδελφὸς λυγκέως, ȣ̓ μέγας μὲν, ὥσπερ ἐκεῖνος, ȣ̓δὲ τοξότης, ὥσπερ ȣ̃τος. ἀλλ᾽ ἓν τȣ̃τ᾽ εἰδὼς [7], κατὰ θεῶν μαίνεσθαι. τȣ̀ς μὲν ἀλωέως ἔτι διανοȣμένȣς τὰς κατὰ [8] θεῶν ἐπιβȣλὰς θανάτῳ κατέπαυσας ἄπολλον. τȣ́τῳ δὲ πόῤῥωθεν φέροντι τὸ πῦρ ȣ̓κ ἀπήντησεν οἶςος ἐπ᾽ αὐτὴν πετόμενος τὴν καρδίαν; ὦ δεξιᾶς τελχῖνος; ὦ πυρὸς ἀδίκȣ; πȣ̃ ποτε ἄρα τὸ πρῶτον ἔπεσε; τί τȣ̃ κακȣ̃ τὸ προοίμιον; ἆρα ἐξ ὀροφῆς ἀρξάμενον ἐπὶ τἄλλα πρȣ̈́βη, τὴν κεφαλὴν ἐκείνην, τὸ πρόσωπον, τὴν φιάλην, τὴν κίδαριν, τὸν ποδήρη χιτῶνα; ἥφαιςος δὲ, πυρὸς ταμίας, ȣ̓κ ἠπείλησε τῷ πυρὶ [9] λυμαινομένῳ, τὴν χάριν ὀφείλων τῷ θεῷ μηνύματος ἀρχαίȣ; ἀλλ᾽ ȣ̓δὲ ὁ ζεὺς, ὄμβρων ἡνίας ἔχων, ἀφῆκεν ὕδωρ ἐπὶ τὴν φλόγα, καὶ ταῦτα λυδῶν ποτε βασιλεῖ δυςυχήσαντι σβέσας πυράν; τί πρῶτον ἄρα πρὸς αὐτὸν εἶπεν ὁ τὸν πόλεμον ἀράμενος; πόθεν ποτὲ τὸ θράσος [10]; πῶς δ᾽ ἐφύλαξε τὴν ὁρμήν; πῶς δ᾽ ȣ̓κ ἔλυσε τὸ δόγμα, τȣ̃ θεȣ̃ τὸ κάλλος αἰδεσθείς; ἄνδρες, ἕλκομαι τὴν ψυχὴν πρὸς τὸ εἶδος τȣ̃ θεȣ̃. καί μοι πρὸ τῶν ὀμμάτων ἵςησιν ὁ λογισμὸς

[6] *τῇ μὲν*] scil. arte diuinandi, capiam, h. e. detegam, eruam et coarguam. *τοῖς δὲ*] illis vero, sagittis nempe, confodiam auctorem facinoris.

[7] *αἰδὼς*] subaudi, *ὥσπερ ἐκεῖνοι*.

8 *τὰς κατὰ*] sic Bav. sine *τῶν* quod Morell. interpositum habet; quod locum si hic habebit, post *κατὰ* debebit collocari.

[9] *ȣ̓κ ἠπείλησε τῷ πυρὶ*] non comminatus est igni, tum, cum id grassaretur; h. e. grassantem et omnia late vastantem non obiurgauit, non repressit, non cohibuit. vt Neptunus et Aeolus ventos et fluctus apud Virgilium.

[10] *θράσος*] *θάρσος* Bav. et margo Morell.

σμὸς τὸν τύπον [11], τὴν [12] ἡμερότητα τῆς μορφῆς. ἁπαλότητα δέῤῥης ἐν λίθῳ ζωστῆρα περὶ τῷ στήθει [13], συνάγοντα χιτῶνα χρυσοῦν, ὡς αὐτοῦ τὰ μὲν ἐνιζάνειν [14], τὰ δὲ ὑπανίςασθαι. τὸ δὲ ὅλον σχῆμα τίνος οὐκ ἂν ζέοντα ἐκοίμισε θυμόν; ἐῴκει γὰρ ᾄδοντι μέλος. καί πού τις αὐτοῦ καὶ ἤκουσεν, ὥς φασιν, ἐν μεσημβρίᾳ κιθαρίζοντος ὦτα εὐδαίμονα; τὸ δὲ ᾆσμα ἦν ἔπαινος τῆς γῆς. ἦ μοι φαίνεται καὶ σπένδειν ἀπὸ τῆς χρυσῆς κυάθου, ὅτι τὴν κόρην ἔκρυψε ῥαγεῖσά τε καὶ συνελθοῦσα. ἐβόα [15] μὲν ὁδοιπόρος ἀνιούσης τῆς αὐγῆς. ἐκυκᾶτο δὲ φίλη δάφνης ἔνοικος, ἱέρεια τοῦ θεοῦ. πληγαὶ [16] δὲ στέρνων καὶ οἰμωγή τις ὀξεῖα, διὰ χωρίου πολυδένδρου δραμοῦσα, πίπτει μὲν εἰς τὸ ἄστυ δεινή τε καὶ φρικώδης, ὄμμα δὲ ἄρχοντος ἄρτι * γευόμενον [17] ὕπνου πικρῷ ῥήματι τῆς εὐνῆς ἐξανέστησεν. ὁ δὲ ἐμμανὴς ἤλαυνε. πτερὰ γὰρ ἑρμοῦ ζητῶν [18], αὐτὸς μὲν ἐπὶ ζήτησιν ᾔει τῆς τοῦ κακοῦ ῥίζης; φλεγόμενος ἔνδον, οὐχ ἧττον ἢ ὁ νεώς. δοκοὶ δ' ἐφέροντο κάτω φέρουσαι πῦρ, ὅτῳ πελάσειαν, φθείρουσαι, τὸν ἀπόλλω μὲν εὐθύς, ἅτε καὶ μικρὸν διέχοντα τοῦ τέγους. ἔπειτα δὲ [19] τὰ ἄλλα κάλλη μουσῶν, οἰκιστῶν εἰκόνας, λίθων ἀστραπάς, κιόνων ὥραν. ὁ δὲ τῶν ἀνδρῶν ὅμιλος περιεστήκεσαν

[11] τὸν τύπον] τοῦ τύπου Bav. et margo Mor.

[12] τὴν abeſt a Bav.

[13] τῷ στήθει] τὸ στῆθος Bav.

[14] ἐνιζάνειν] id eſt συνιζάνειν. ἐν et σὺν in compoſitis inter ſe alternant.

[15] ἐβόα] aut non habemus in tegram hanc monodiam, et ſane e Chryſoſtomo ſolummodo excerpta eſt, qui non videtur totam retuliſſe, aut, vt in affectu luctus contingit, auctor conturbatius effundit animi ſui ſenſa, ſine rerum ordine et vinculis verborum ab aliorum argumento ad aliud transſiliens.

[16] πληγαὶ] ſic ♀ et Bav. πληγας Morell.

[17] γευόμενον] ſic de meo dedi, pro γευόμενος, quod eſt in libris. redit enim ad ὄμμα. lamentatio horrifica praefecti excitat oculum, modo ſomnum guſtantem.

[18] ζητῶν] videtur λαβὼν melius conuenire.

[19] ἔπειτα δὲ] poſt haec vocabula addi velim καί.

σαν ὀλοφυρόμενοι μὲν, βοηθεῖν δὲ ἀποροῦντες. ὃ καταλαμβάνει τοὺς ἀπὸ γῆς ναυαγίαν ὁρῶντας, ὧν ἡ βοήθεια δακρῦσαι τὸ γινόμενόν. ἢ πȣ μέγαν μὲν [20] ἤγειραν γόον ἐκπηδήσασαι τῶν πηγῶν αἱ νυμφαὶ, μέγαν δὲ ζεῦς ἐγγύς πȣ καθήμενος. ὁποῖον εἰκὸς ἐπὶ τιμαῖς υἱέως συγκεχυμέναις. μέγαν δὲ δαιμόνων μυρίων ὅμιλος ἐν τῷ ἄλσει διαιτωμένων. οὐδὲν ἐλάττω θρῆνον ἐκ μέσης τῆς πόλεως ἡ καλλιόπη [21], τοῦ χοροποιοῦ τῶν μουσῶν ἠδικημένου [22] τῷ πυρί. γενοῦ μοι καὶ νῦν, ἄπολλον, οἷόν σε ἐποίησεν ὁ χρύσης καταρώμενος [23] τοῖς ἀχαιοῖς, θυμοῦ τε πλήρη καὶ νυκτὶ ἐοικότα, ὅτι δή σοι τὰς θυσίας ἡμῶν ἀποδιδόντων, καὶ, ὅσον ἦν ἀπενεχθὲν [24], ἀντικαθιστάντων, προανηρπάσθη τὸ τιμώμενον [25], οἷον νυμφίου [26], πλεκομένων ἤδη στεφάνων, ἀπελθόντος.

[20] μὲν e Bav. addidi.

[21] ἡ καλλιόπη] ſcil. ἤγειρεν.

[22] ἠδικημένου] ſic Morell. ἠδικημένων Bav. quae lectio ſi ſit admittenda, debebit ſic interpungi et legi. ἡ καλλιόπη τοῦ χοροποιοῦ, naeniam tollet Calliope non minorem, quam ductor choreae ſuae, (Muſarum puta, quarum e numero erat Calliope.) τῶν μουσῶν ὁμοίως ἠδικημένων τῷ πυρί. propterea quod Muſae pariter, atque Apollo, laeſae ſint illo incendio. Ego vero acquieſco in vulgata, et alteram lectionem pro lapſu librarii habeo.

[23] καταρώμενος] ſic ♀ et Bav. καταράμενος Morell.

[24] ἀπενεχθὲν] quod de fundis, olim templo tuo conſecratis, detractum a Chriſtianis fuerat, id tibi reſtituere ſtudentibus nobis.

[25] τὸ τιμώμενον] obiectum cultus noſtri. τὸ σὸν ἕδος.

[26] οἷον νυμφίου — ἀπελθόντος] idem eſt, ac ſi dixiſſet οἷον εἰ νύμφιος πλ. ἤδη σ. ἀπῆλθεν. tanquam ſi ſponſus aliquis eo ipſo tempore, quo corollae iam ipſi confererentur, e viuis exceſſiſſet.

LXII.

ΜΟΝΩΔΙΑ ΕΠΙ ΝΙΚΟΜΗΔΕΙΑι ΣΕΙΣΜΩι ΑΦΑΝΙΣΘΕΙΣΗι. [1]

Εἶτα ὅμηρος μὲν ἐδὲ τὴν τȣ̃ φυτȣ̃ φθορὰν ἄνευ τȣ̃ ἐλεῆσαι παρέδραμεν. ἀλλ᾽ ὥσπερ αὐτὸς ὢν ὁ φυτευσάμενος καὶ καμὼν, εἶτα ὁρῶν ἐπὶ γῆς ἐκτεταμένον, οἱονεὶ θρῆνον εἰς τὸ ἔρνος ᾄδει. ἐγὼ δὲ τῆς Νικομήδȣς πόλεως, ἐν ᾗ λόγȣς μὲν, ὃς εἶχον, ἐπηύξησα, φήμην δὲ ἣν ἐκ εἶχον, ἐπεκτησάμην. ταύτην δὲ, τὴν ἐναγχος μὲν πόλιν, νυνὶ δὲ κόνιν, σιγῇ δακρύσω [2], τȣ̃το δὴ τῶν [3] πολλῶν. ἢ καὶ λόγων αὐτῇ μεταληπτέον, ὃς ἐξέθρεψε. πάντως, εἰ καὶ αὐλητὴς [4] ἐτύγχανον ὢν, νίκας αὐτόθι πολλὰς ἀνῃρημένος ἐπ᾽ αὐλήσει, τȣ̀ς ἄλλȣς ἂν ἀφεὶς, ὅπως ἐδύναντο, ςένειν, γοερῷ μέλει τὸν θρῆνον ἐπλήρȣν. ἐξέςω δή μοι, καθάπερ παρȣ̃σι, τοῖς θεοῖς διαλεχθῆναι, καὶ εἰς εὐθύνας ἀγαγεῖν τῆς συμφορᾶς τὸν λόγον [5]. ȣ̓ σύ ποτε, ὦ πόσειδον, ἐν διὸς μετὰ

[1] Scripta est ergo. Sub A. 354. nam p. 202. 11. ait, Nicomediam nuper admodum vrbem adhuc fuisse, nunc rudera esse.

[2]] δακρύσω] sic Bav. δακρύσων Morell.

[3] δὴ τῶν] videtur τὸ interponendum.

[4] καὶ αὐλητὴς] malim κἂν αὐλ. etiamsi nil aliud quam tibicen essem. aliam nullam artem meliorem atque honestiorem tenerem.

[5] τὸν λόγον] non oratio adducitur ad rationem reddendam, sed rei accusati, qui hic sunt dii. malim igitur τῷ λόγῳ. fictione saltim tenus, vel oratione saltim tenus. nam recte dii nequeunt ad orationem reddendam citari. in ἀγαγεῖν subauditur αὐτȣ́ς.

μετὰ τῶν ἄλλων συγκαθήμενος δαιμόνων, δυσχεραίνων τὸ τεῖχος τῶν ἑλλήνων, ὃ προὐβάλοντο τῶν νεῶν ἐν ἰλίῳ, τοῦτο μέγιστον αὐτῶν κατηγόρεις, ὅτι θεῶν ἀμελήσαντες ἐβάλοντο κρηπῖδα. καὶ διὰ τοῦτό γε, εὖ ποιῶν, ἐπειδὴ ἥλω τὸ ἴλιον, ᾠήθης χρῆναι καὶ τὸ τεῖχος ἀνελεῖν. καὶ ῥαδίως τοῦτο ἔπραττες, κελεύσας εἰς αὐτὸ τοὺς ποταμοὺς ἐμβαλεῖν, οἳ ἀπὸ τῆς ἴδης ὥρμων. τί δὴ τῷ ταύτης οἰκισμῷ μεμφόμενος, παραπλήσιον βουλὴν ἐβούλευσας; οὐχ ὁ μὲν πρῶτος οἰκιστὴς [6], ἑτέρωθι πολίζειν ἐπιχειρῶν, ἀπαντικρὺ τῆς νῦν οὔσης, μᾶλλον δὲ τῆς οὐκέτ' οὔσης, ἀφ' ὑμῶν ἤρχετο τοῦ ἔργου. καὶ ἦν ἱερεῖά τε ἐπὶ βωμοῖς, καὶ περὶ τοὺς βωμοὺς [7] ὅμιλος. ὑμεῖς δὲ μετεστήσατε τὴν σπουδὴν ἐπὶ τὸν ὄχθον αἰετῷ τε καὶ δράκοντι. ὧν ὁ μὲν ἱερείων κεφαλὴν ἐκ τοῦ πυρὸς τοῖς ποσὶν ἁρπάσας· ὁ δ' ἐκ γῆς ἀναδὺς μέγας τε, καὶ ὁπόσον ἡ ἰνδῶν λέγεται βόσκειν, ὁ μὲν τὸν ἀέρα τεμὼν, ὁ δὲ τὴν θάλατταν, συγκαταίρουσιν εἰς τὸν λόφον. οἱ δὲ εἵποντο, θεοῖς ἕπεσθαι χειραγωγοῖς ἡγέμενοι. τὰ δὲ ἦν ἄρα πάντα ἀπάτη. κατακλύζεται δὴ τὸ πρῶτον πολέμου κύματι [8]. ἔστω τοῦτο. καὶ γὰρ κόρινθος, ἣν ἔχες, καὶ γῆ κέκροπος, ἧς ἠράσθης. ἀφικνεῖται δεύτερος [9] οἰκιστὴς, μάλιστα δὴ βασιλέων θεοὺς ἡγεμόνας ποιούμενος. μεγέθει [10] θυσίας ὑπερβαλλόμενος κρεῖττον ὑμῶν νευσάντων, ἐπηνώρθου τὸ ἄστυ τῆς ποίας δὴ δίκην ὀλιγωρίας ὤφειλεν [11], ὥσπερ ἡ αἰτωλῶν γῆ τῆς οἰνέως [12]; καλὸν οὖν, ἢ κατὰ θεῶν τρόπον,

[6] πρῶτος οἰκιστὴς] Nicomedes.

[7] περὶ τοὺς βωμοὺς] sic Mor. περὶ τοῖς βωμοῖς Wolfenb. Ferr.

[8] πολέμου κύματι] bellum designat Scythicam innuasionem sub Valeriano Augusto c. A.C. 258. v. Zosim. l. I. p. 32. edit. Oxon. qui locus insignis est nostri commentarius.

[9] δεύτερος] sic Wolfenb. ὁ ἕτερος Ferrar. et Morell.

[10] ποιούμενος μεγέθει] videtur ὃς interponendum, et Dioclétianus designari. v. Lactantius de M. P. 7. 10.

[11] ὤφειλεν] imo vero ὦφλεν.

[12] τῆς οἰνέως] scil. ὀλιγωρίας τῶν θεῶν ὦφλε δίκην. quod e contemptu v. Iliad. IX. item infra p. 252. 18. ed. Morell.

πον. ὧν συνεφάπτεσθε ποιημάτων ἀνθρώποις, ταῦτα ταῖς ὑμετέραις χερσὶ διαχεῖν, καὶ μιμεῖσθαι τὰ παίδων ἀθύρματα, οἷς τοῦτο [13] εὕρηται, τὸ διαφθείρειν, ἃ πεποιήκασιν; ἐκεῖνο δὲ καλόν, ὦ Πόσειδαν, ὑπὲρ μὲν τῆς Ἀττικῆς, ὅπου πόλεως αὐτόθι ἰσχυούσης [14], δι' ἔριδος ἐλθεῖν πρὸς τὸ γένος [15], καὶ ἐν ἀκροπόλει τοσοῦτον ἀπεχούσῃ θαλάσσης ῥέεθρον δεῖξαι [16]. πόλεως δὲ τοσαύτης τε καὶ τοιαύτης μὴ ὅπως ἔρωτα λαβεῖν, ἀλλὰ καὶ ὑποσπάσαι τὸ βάθρον. τίς γὰρ ἐκείνης, μείζων μὲν οὐκ ἂν εἴποιμι, καλλίων δέ; μέτρῳ μὲν γὰρ τεττάρων [17] ἐλείπετο. τοσοῦτον ἀτιμάσασα τοῦ μεγέθους, ὅσον ἔμελλε λυπήσειν τῶν οἰκητόρων τοὺς πόδας [18]. εἰς δὲ κάλλους λόγον [19] τὰς μὲν ἀπέλειπε, ταῖς δὲ ἐξισοῦτο, πάντως δὲ οὐκ ἐκρατεῖτο, δεχομένη μὲν ταῖς ἀγκάλαις τὴν θάλατταν, εἰσιοῦσα δ' εἰς τὴν θάλασσαν ταῖς ἄκραις, ἐπιβαίνουσα μὲν τῆς χηλῆς, ἀναβαίνουσα δ' ἐπὶ τὸν λόφον. στοῶν δύο δυάσι διειλημμένη, διηκούσαις τοῦ παντός. λάμπουσα μὲν δημοσίοις κατασκευάσμασι, τοῖς δὲ ἰδίοις συνεχής. ἐκ τῶν ὑπτίων ἐπὶ τὴν ἄκραν, οἷον κυπαρίττου κλάδοι, ἄλλος ἐπ' ἄλλῳ. νάμασι διαρρεομένη. κήποις δορυφορουμένη.

[13] τὰ παίδων ἀθύρματα, οἷς τοῦτο] Morellus ſic edidit, ſuone Marte, an ex aliquo codice, haud conſtat. In Ferrar. et Wolfenbütt. ſic eſt. τὰ παίδων, οἷς ἀθύρματα τοῦτο. vnde efficio τὰ παίδων (ſcil. ἔργα, vel ἐπιτηδεύματα, puerorum inſtituta, vel mores,) οἷς ἀθυρμάτων ἓν τοῦτο εὕρηται — qui inter alia genera ludorum etiam hunc inuenerunt, vel excogitarunt ſibi, vt, quae paulo ante conſtruxiſſent, paulo poſt rurſus ipſi deſtruant.

[14] αὐτόθι ἰσχυούσης] videtur inſerendum τοσοῦτον ὅσον ὕστερον.

[15] πρὸς τὸ γένος] ſubaudi τὸ σόν, erat enim Minerua e Ioue nata, fratre Neptuni.

[16] δεῖξαι] ſic cum Morell. Wolfenbütt. ζεῦξαι Ferrar.

[17] τεττάρων] ſcil. πόλεων. quae quatuor vrbes ſunt Roma Cpſis, Alexandria, Antiochia.

[18] τὰς πόδας] quatenus verendum erat, ne pedibus incolarum aegre faceret, longitudine viae puta, ſi quibus eſſet neceſſe futurum, ab vno fine vrbis ad alterum ambulare.

[19] λόγον] ſic dedi de meo; in libris eſt λόγων.

ρουμένη. βουλευτήρια δὲ καὶ χωρία λόγων, καὶ ἱερῶν πλῆθος, καὶ λουτρῶν μεγέθη. καὶ λιμένος καιρὸν, εἶδον μέν. δηλῶσαι δ᾽ οὐκ ἂν δυναίμην. πλὴν τοσοῦτόν γε ἐρῶ, ὅτι φοιτῶντες ἐκ νικαίας ἐκεῖσε, διὰ μὲν τῆς ἄλλης ἰόντες, ὑπέρ τε τῶν δένδρων ἐποιούμεθα λόγους, καὶ τῆς γῆς, πρὸς ὅτου φορὰν ἀγαθὴ[20], οἰκείων τε πέρι, καὶ φίλων, καὶ παλαιᾶς σοφίας. παραμείψαντες[21] δὲ τῶν ὀρῶν τοὺς ἑλιγμοὺς, ἐπεὶ φανείη τὸ ἄστυ, τοῦτο δ᾽ ἐγίγνετο τῆς ἀποστάσεως ἐν πεντήκοντα σταδίοις οὔσης καὶ ἑκατόν. ὁπότ᾽ οὖν ἐκλάμψειε, περὶ μὲν τῶν ἄλλων σιγὴ ἦν. ὁ λόγος δὲ ἅπας ἡ πόλις. καὶ οὔτε κῆποι προς[22] αὐτοὺς εἷλκον αἰωρούμενοι τοῖς κλάδοις, οὐ νῶτα λῄων, οὐ θαλάττης ἐργάται. καίτοι πέφυκέ πως ὁδοιπόρων ὀφθαλμὸν ἐπισπάσασθαι θαλαττουργὸς καὶ κώπην ἀναφέρων, καὶ δίκτυον ἀφιεὶς, καὶ δι᾽ ἀγκίστρων ἐπιβουλεύων ἰχθύσιν. ἀλλ᾽ ἦν δεινοτέρα γοητεῦσαι τῆς πόλεως ἡ μορφή. καὶ τυραννεύουσα τῷ κάλλει τῶν ὀμμάτων, μίαν αὐτοῖς εἰργάζετο στάσιν[23] τὴν πρὸς αὐτήν. ἴσον δὲ τὸ πάθος τῷ τε πρῶτον ὁρῶντι, καὶ ὅστις ἐγγηρᾷ[34] τῇ πόλει. ἐδείκνυ δ᾽ ἂν οὑτοσὶ[25] τῷ πέλας ὁ μὲν βασίλειον ἐπαστράπτον τῷ κόλπῳ, ὁ δὲ θέατρον ὑπερλάμπον τῆς ὅλης. ἄλλος δὲ ἄλλας ἀλλαχόθεν ἐκπεμπομένας αὐγάς. ὃ δὲ ἐνίκα, χαλεπὸν ἦν εὑρεῖν. ὥστε ὥσπερ ἄγαλμα σεβόμενοι προσηλαύνο-

[20] ἀγαθὴ] scil. ἐστιν, vel ἐὴ. sic Wolfenb. et Ferrar. ἀγαθῆς Morell.

[21] παραμείψαντες] aut est anacoluthum, aut est nominatiuus absolutus pro genitiuo consequentiae, παραμειψάντων ἡμῶν, aut pro datiuo παραμείψασιν ἡμῖν.

[22] πρὸς] sic ♀ et Wolfenb. περὶ Ferrar. et Morell.

[23] στάσιν] vocabulum hoc hic loci non seditionem, tumultum, discordiam, sed stationem, actionem standi, significat. vrbs haec faciebat oculis vnam stationem apud se, h. e. oculos intuentium in vna se ita figebat, vt illi insistere vni viderentur, et ad aliud nil delabi posse.

[24] ἐγγηρᾷ] sic omnes mei libri. γρ. ἐνεγήρα margo Morell. quae lectio videtur praestare.

[25] οὑτοσὶ] sic libri mei. malim tamen οὕτωσὶ hoc pacto.

λαύνομεν. χωροῦντι δὲ ἐπὶ Χαλκηδόνος μεταστρέφεσθαί τε ἦν ἀνάγκη, μέχρι τὴν θέαν ἡ φύσις ἀφῃρεῖτο τῆς ὁδοῦ, καὶ [26] ἐοικέναι τοῖς ἑορτῆς πεπαυμένοις. τὴν δὴ τοιάνδε πῶς οὐ πάντα τῶν θεῶν τὸν χορὸν ἐχρῆν περιστάντα φρουρεῖν; παραγγέλλοντας ἀλλήλοις προσέχειν τὸν νοῦν ὅπως μηδενὶ γένοιτο παραδῦναι [27] κακῷ. νῦν δὲ οἱ μὲν ἐπέθεντο, οἱ δὲ ὑπεχώρησαν, ἤμυνε δ᾽ οὐδείς. καὶ ταῦτα πάντα, ἃ διῆλθον, ἦν ποτε. νῦν δ᾽ οὐκ ἔστιν. ὦ δαίμονος; οἷον τῆς οἰκουμένης ἀπήνεγκε βόστρυχον. ὡς ἐξετύφλωσέ γε τὴν ἑτέραν ἤπειρον, γενναῖον ἐκκόψας ὀφθαλμόν. ὡς δεινὴν κατέχεε τῆς ἀσίας ἀμορφίαν, οἷον ἄλσους τὸ μήκιστον ἐκτεμὼν, ἢ οἷον μορφῆς τῆς καλλίστης ῥῖνα περιτεμών. ὦ σεισμῶν ἀδικώτατε, τί τοῦτο ἔδρας; ὦ πόλεως ἀπελθούσης. ὦ προσηγορίας εἰκῆ μενούσης; ὦ διὰ γῆς καὶ θαλάττης ἀλγηδόνος δραμούσης; ὦ φήμης, ἣ πάσης μὲν ἡλικίας, πάσης δὲ τύχης ἔσεισε τὴν καρδίαν; τίς οὕτω λίθινος, τίς ἀδαμάντινος, ὅτῳ μὴ τὴν ψυχὴν ἔτρωσεν ὁ λόγος; τίς οὕτω κρείττων δακρύων, ὃς οὐκ ἔπεσεν εἰς δάκρυα; ὦ παθήματος μυρία κάλλη τῆς πόλεως εἰς ἓν χρῶμα κεράσαντος; ὦ δυστυχοῦς ἀκτῖνος, οἵαν μὲν προσέβαλλε τὴν πόλιν ἀναχοῦσα, οἵαν δ᾽ ἀφεῖσα κατέδυ; μικρὸν μὲν ἀπεῖχεν ἡμέρα περὶ πλήθουσαν ἀγορὰν εἶναι. θεοὶ δὲ φύλακες τῆς πόλεως τοὺς νεὼς ἐξελελοίπεσαν. ἡ δὲ ἐφέρετο καθάπερ ναῦς ἐρήμη. τῆς τριαίνης δὲ ὁ δεσπότης κινεῖ μὲν τὴν γῆν, κυκᾷ δὲ τὴν θάλατταν, καὶ αἰρίζαι τῇ πόλει οὐκέτι ἐπεπήγεσαν, ἀλλὰ τοῖχοί τε τοίχοις προσέπιπτον κίονές τε κίοσιν, ὀροφαί τε κατέρρεον, θεμέλιοί τε ἐξεπήδων, καὶ πάντα ἐτα-

[26] καὶ] subaudi a communi, *necesse erat*, ἦν ἀνάγκη, *eo loci deuenire, vt similis esset viator iis, qui festi diei finem obierunt*, h. e. aegre ferre iucundi spectaculi sublationem.

[27] παραδῦναι] sic libri. ego vero nullus dubito, leg. esse παραδῦναι. *irrepere*. vt nullum malum clam irrepere posset. γένοιτο idem h. l. est, atque ἐγγένοιτο vt nulli malo datum esset furtim subire.

ἐταράττετο. ἀνεφαίνετο μὲν τὸ κρυπτόμενον. τὸ φαινόμενον δὲ ἀπεκρύπτετο. σχήματα δὲ ἐκεῖνα καὶ ἄρθρα καὶ τὸ διὰ τῶν μερῶν συμπληρούμενον εἶδος, πάντα ἡ προσβολὴ πρὸς μίαν ἀνεμίγνυ σύγχυσιν. οἱ δὲ ἄνθρωποι πρὸς ἔργοις ὄντες ἐβάλλοντο κοινοῖς τε καὶ ἰδίοις οἰκοδομήμασιν. ἐπὶ μὲν τῷ λιμένι φόνος ἐγίνετο πολύς τε καὶ ἀγαθῶν, περὶ τὸν ἄρχοντα δὴ τῶν λογάδων ἠθροισμένων. θέατρον δὲ ἀποῤῥαγὲν ὅσον ἐπεῖχε κατήνεγκε. τὸ δ᾽ ἀεὶ καταφεῦγον εἰς τὸ οὔπω πεπτωκὸς ἐπειδὰν εἴσω γένοιτο, κατεχώννυτο. θάλαττα δὲ βιασθεῖσα τῆς γῆς ἐπέλαβε. πῦρ δὲ ὁπόσον ἦν ἑκασταχοῦ λαβόμενον τῆς ξυλώσεως προσέθηκεν ἐμπρησμὸν τῷ σεισμῷ καὶ ἄνεμός τις, ὥς φασιν, ἔτρεφε τὴν φλόγα. καὶ νῦν ἡ πολλὴ πόλις κολωνὸς πολύς. οἱ δὲ διαδύντες, ὀλίγοι δέ τινες, μετὰ τραυμάτων ἀλῶνται. ἥλιε, πάντα ὁρῶν, τίς ποτε ἐγένου. καὶ ταῦτα [28] ὁρῶν; πῶς οὐ κατέσχες πόλιν τοσαύτην ἐξιοῦσαν τῆς γῆς; ἀλλ᾽ ὑπὲρ μὲν βοῶν, ὧν ἥψαντο ναῦται πεινῶντες, πάντα ποιεῖς, καὶ ἀπειλεῖς τοῖς ἐν οὐρανῷ, δώσειν σαυτὸν τῷ πλούτωνι. τὴν δὲ τῆς γῆς ἀγλαΐαν, πολλῶν μὲν βασιλέων πόνον, μακροῦ δὲ πόνου τέχνημα, μεθ᾽ ἡμέραν [29] ἁρπαζομένην οὐκ ᾤκτειρας, ὦ καλλίστη πόλεων, ὡς ὀπίσω γε λόφῳ παρεδόθης τὸ πρῶτον, πονηρῷ τε καὶ πονηρὸν ἵππον μεμιμημένῳ, καλὸν ἱππέα τῶν νώτων ἐκκεκρουκότι; ποῦ νῦν στενωποί; ποῦ στοαί; ποῦ δρόμοι; ποῦ κρῆναι; ποῦ δ᾽ ἀγοραί; ποῦ μουσεῖα; ποῦ τεμένη; ποῦ δ᾽ ὄλβος ἐκεῖνος; ποῦ νεότης; ποῦ γῆρας; ποῦ λουτρὰ χαρίτων καὶ νυμφῶν αὐτῶν; ὧν τὸ μέγιστον ὁμώνυμον. βασιλεῖ τῷ ἐκπονήσαντι [30] πόλεως ὅλης

[28] καὶ ταῦτα] etiam haec cernens, qui tot alia cernis horrenda et nefanda.

[29] μεθ᾽ ἡμέραν est intra vnum diem, nitor ille adhuc ante istum diem supererat, post illum diem nullus erat. formata haec est dictio ad illam Aeschinis, vbi de Thebarum vrbe ait, μεθ᾽ ἡμέραν μίαν ἐκ τῆς Ἑλλάδος ἀνήρπασται, p. 72. 32. ed. H. Steph.

[30] βασιλεῖ τῷ ἐκπονήσαντι] Diocletiano ni fallor.

ὅλης ἀντάξιον. ποῦ νῦν βουλή; ποῦ δῆμος; ποῦ γυναῖκες; ποῦ παῖδες; ποῦ βασίλειον; ποῦ δ' ἱππόδρομος Βαβυλωνίων τειχῶν ἰσχυρότερος. οὐδὲν ἄσυλον. οὐδὲν ἀνάλωτον. πάντα εἴσω τῆς συμφορᾶς. ὦ πλήθη ναμάτων ποῦ ῥεῖτε νῦν; ἐπὶ ποίας οἰκίας; ἐπὶ ποίας κρήνας; ἀπερρώγασι μὲν ὀχετοὶ καὶ πολυσχιδεῖς τῶν ὑδάτων ὁδοί. φέρεται δὲ τῶν πηγῶν ἡ χορηγία κατὰ τὸ εἶκον, χαράδρας τε ἐργαζόμενον καὶ ἐν τοῖς κοίλοις λιμνάζον. ἀρύεται δὲ οὐδεὶς, οὔτε πίνει, οὔτε ἄνθρωπος, οὔτε ὄρνιθες. καὶ γὰρ τούτοις φοβερὸν τὸ πῦρ, ὃ διὰ πάσης κάτωθεν ἕρπον, ᾗ ἂν ἐνδιδῷ τὰ ἄνω, πρὸς τὸν ἀέρα τοξεύει. τὴν δὲ δὴ πολυάνθρωπον ἔχει μεθ' ἡμέραν μὲν οὐδεὶς, νυκτὸς δὲ δῆμος εἰδώλων. ἅ [31] μοι δοκεῖ στενοχωρίαν τοῖς ὑπὸ γῆν ποιήσειν, ἐπειδὰν περάσῃ τὸν ἀχέροντα. λήμνια μὲν οὖν ὑμνεῖτο κακὰ καὶ ἰλιὰς κακῶν. στήσεται δὲ ἐκείνων ἡ μνήμη. τὰς δὲ ὑπερβολὰς τῶν δεινῶν ἐνθένδε ὁ βουλόμενος ἐνδείξεται. ἤδη που σεισμὸς τὸ μέν τι περιεῖλε, τοῦ δὲ ἀπέχετο. ἀλλὰ ταύτην γε ἐστόρεσεν. ἤδη τινὰς ἐστόρεσεν. ἀλλ' οὐ τοσαύτην γε ἔκλινεν. εἰ γὰρ ἢ τῶν σωμάτων ἐξῄρητο μόνων λοιμῷ κατασυρέντων, ἢ κατὰ νόμον ἔξω πανδημεὶ θυόντων [32], καὶ μὴ ἐπεπτώκει πάλαι [33], ἅπασαν οὐ χρῆν ἀπονείρασθαι. νῦν τοίνυν ἄμφω κεῖται, καὶ τὸ σχῆμα τοῦ ἄστεος εἰς τὸν τῶν οἰκητόρων ἐλύθη φόνον. ὀδυρέσθω δὴ πᾶσα μὲν νῆσος, πᾶσα δὲ ἤπει-

[31] ἃ] scil. εἴδωλα. ὃ dant Wolfenb. et Ferrar. vnde margo Morell. repetiit. videntur ὃς dare voluisse, vt ad δῆμος referatur.

[32] ἢ κατὰ νόμον ἔξω π. θυόντων] sententia haec est: aut, si necesse et fatale erat, vt incolae omnes vna perirent, cur non eiusmodi tempore locoque sunt intercepti, cum extra vrbem essent omnes, sacro fungentes, quod ex vetusto ritu patrio non intra moenia licet fieri, sed extra debet peragi; quo saltim vrbs salua mansisset.

[33] πάλαι non videtur loco suo stare, sed post νόμον esse inserendum, sic tamen, vt παλαιὸν legatur, ad hunc modum: ἢ κατὰ νόμον παλαιὸν ἔξω πανδημεὶ θυόντων, ἅπασαν —

ἤπειρος, καὶ γεωργοὶ, καὶ ναυτίλοι, καὶ κῶμαι, καὶ καλύβαι, καὶ πᾶν ὅ, τι εἰς ἀνθρώπου φύσιν συντελεῖ [34]. καὶ κατεχέτω τὴν οἰκουμένην κωκυτὸς, ὁποῖος τὴν αἴγυπτον * ἐπ' οἰχομένῳ [35] τῷ ἄπιδι. νῦν ἔδει καὶ πέτραις δοθῆναι δάκρυ [36], καὶ ὄρνισι νοῦν, εἰς συναυλίαν τοῦ πένθους. ὦ λιμένος, ὃ φεύγουσι νῆες ἀνήγοντο σπουδῇ ἀπόγεια [37] κόπτοντες. ὁ πρὶν ὁλκάδων ἔμπλεως οὐδὲ λέμβον εἰσπλέοντα δείκνυσιν. ἀλλ' ἐστὶ φοβερώτερος ἐμπόροις τοῦ τῆς σκίλλης οἰκητηρίου. ὦ δυστυχίας ὁδοιπόρων, οἱ τὴν μηνοειδῆ μὲν καὶ σκιερὰν ὁδὸν, ἣ περὶ τὸ τέλμα τοῦ κόλπου χαριέντως ἐλήλαται, ταύτην μὲν οὐκ ἴασι. ἐμβάντες δ' εἰς πλοῖον παραπλέουσι τὸν ὄχθον, ἐφ' ὃν ἠπείγοντο πρότερον, τρέμοντες ὥσπερ τὴν χάρυβδιν, τεκμαιρόμενοι τῆς θαλάττης [38] τὰ πάλαι ἑστηκότα. ὦ φιλτάτη πόλεων, σὺ μὲν κατέκλασας ἀνθρώπους τῷ πάθει. σὺ δὲ ἐξέπληξας [39] τῷ πτώματι καὶ γένος ἅπαν ἐν ἱκετηρίοις κάθηται, δοκοῦντες τῶν ὅλων καταχεκρίσθαι τελευτήν. μὴ γὰρ ἂν ἔτι μηδενὸς εἶναι φειδὼ μετὰ τὸ κάλλιστον. τίς ἄν με πτερώσας ἐκεῖσε κομίσειε [40]; τίς ἂν ἐπὶ τῆς ἄκρας στήσειε, πικρὸν μὲν ἰδεῖν, ἔχει δέ τινα παραμυθίαν ἐραστῇ, παιδικοῖς περιχυθῆναι κειμένοις.

34 συντελεῖ] τελεῖ simplex Ferrar. et Wolfenb.

35 ἐπ' οἰχομένῳ] ob mortem *Apidis*, sic, duobus vocabulis, dedi de meo. in libris est vno vocabulo ἀποιχομένῳ.

36 δάκρυ] sic Ferr. et Wolfenb. δάκρυα Morell.

37 ἀπόγεια] malim cum articulo τἀπόγεια.

38 τῆς θαλάττης] praeponendum videtur ἐκ — qui prospicientes e mari in terram continentem aedificiorum olim aliquando stantium, sedes oculis et manu designabant et notabant.

39 aut post ἐξέπληξας aut post τῷ πτώματι deesse videtur τοὺς κάτω. manes inferos terrore consternasti a fremitu tantae ruinae.

40 verba τίς ἄν με πτερώσας ἐκεῖσε κομίσειε desunt Ferrar. et Wolfenb.

LXIII.

LXIII.

ΠΡΟΣ ΑΡΙΣΤΕΙΔΗΝ ΥΠΕΡ ΤΩΝ ΟΡΧΗΣΤΩΝ. [1]

Οἶδα μὲν [2], ὅτι καὶ τῶν φίλων τοῖς σεμνοτέροις, καὶ πᾶσιν, ὅσοι πρὸς ἡμᾶς οὐχ ἡδέως ἔχουσι, τοῖς μὲν * ἐνθυμεῖσθαι [3], τοῖς δὲ αἰσχύνεσθαι δώσομεν [4], εἰ πράγματι [5] οὐκ οἶδ᾽ ὅπως χείρω δόξαν λαβόντι συναγορεύειν ὑποσταίημεν. ἀλλ᾽ εἰ μὲν μὴ πολλὰ πολλάκις ἐν τῷ βίῳ, καὶ τῶν ἀμεινόνων, καὶ τῶν οὐ τοιούτων, τῆς οὐ προσηκούσης τυχόντα φήμης, τὰ μὲν ἐνομίσθη φαῦλα, τῆς κρείττονος ὄντα μερίδος· τὰ δὲ καταφρονούμενα [6] ἂν δικαίως, πρὸς τὸ τιμᾶσθαι μετέστη, καλῶς ἂν εἶχεν ἐπιτιμᾶν τοῖς ᾑρημένοις ἀμύνειν [7], ὧν κατηγορεῖν ἔδει. ἐπεὶ δ᾽ οὐ πανταχοῦ τὴν ὀρθὴν κρίσιν ὁρῶμεν [8] νενικηκυῖαν, οὐδὲν δεινὸν [9] λόγῳ βοηθεῖν τοῖς οὐκ ἐν δίκῃ ψεγομένοις. αὐτοῖς μὲν

[1] Ariſtides oratione quadam, hodie deperdita, ſuaſerat, vt ſaltatores Lacedaemone expellerentur. Huic oppoſita haec eſt aduerſaria, cuius ipſe Libanius meminit ep. 530. 15.

[2] οἶδα μὲν] ſic Bauar. duobus vocabulis, vno οἴδαμεν Morell.

[3] ἐνθυμεῖσθαι] ad ſeueritatem meditationis redire, et animo veluti percelli, vt ſi quis rem audiat, qua parum delectetur, aut rem ſuſcipiat grauem, arduam, plenam aleae. in Bauar. eſt εὐθυμεῖσθαι in Morell. εὐθυμεῖν.

[4] poſt δώσομεν videtur ἀφορμὴν deeſſe.

[5] πράγματι] ſaltationi hiſtrionicae et pantomimicae.

[6] τὰ δὲ καταφρονούμενα] coniunctionem δὲ quae deeſt, Morell. ex ♀ et Bauar. addidi.

[7] ἀμύνειν] ſubaudi τούτοις.

[8] ὁρῶμεν] ſic Bauar. ὁρῶ Morell.

μὲν οὖν τούτοις καὶ μάλιστα προσήκοι [10] βοηθεῖν, ὥσπερ τῶν κρινομένων τοῖς συκοφαντουμένοις. ὁ δὲ, διότι φαῦλον ἐνομίσθη, φεύγων τὸ συνειπεῖν, τὴν ἀνάγκην [11] τοῦ λέγειν αἴτιον ποιεῖται τῆς σιωπῆς. τὰ μὲν γὰρ θαυμαζόμενα τῶν ἔργων οὐδὲν ἂν δέοιτο συμμάχων, εὐτυχοῦντα [12] κατὰ τὴν δόξαν. τοῖς δὲ ἐναντίοις ἐπικουρεῖν ἀνάγκη. καθάπερ τῶν γνωρίμων τοῖς πενεστέροις. εἰ δὲ [13], ὧν προσήκει τὴν ἀδοξίαν ἀνελεῖν, τούτοις ὀκνήσομεν [14] συνειπεῖν, ἐπειδὴ κατηγόρηται, τὸ συνηγορεῖν ἀναιρήσομεν ὅλως, τῶν μὲν εὐδοκιμούντων οὐ δεομένων βοηθείας, τῶν δὲ ἐν χρείᾳ ταύτης ἀποστερουμένων, φόβῳ τοῦ δοκεῖν τοῖς οὐ καλοῖς βοηθεῖν. τῶν μὲν οὖν ἐχθρῶς ἡμῖν ἐχόντων οὐ πολὺς λόγος. καὶ γὰρ εἰ μὴ ταύτην εἶχον τὴν πρόφασιν, ἑτέρας ἂν ηὐπόρουν. ὡς οὐδέν γε ῥᾷον τοῦ κακῶς ἀγορεύειν, ἐάν τις ὀλιγωρῇ τοῦ δοκεῖν εἶναι κακός. τῶν δ' ἐπιτηδείων ἡμῖν τοῖς τεταραγμένοις ἐκεῖνο λέγω. μικρῷ χρόνῳ ἀποστήσαντες ὑμᾶς αὐτοὺς, ἧς νῦν ἔχετε [15] δόξης περὶ τῶν ὀρχουμένων, καὶ δεξάμενοι μεθ' ἡσυχίας τὸν λόγον, ἂν μέν τι φαίνωμαι λέγων [16], καὶ περιγένωνται τῶν κατηγοριῶν οἱ λογισμοὶ, παύσασθε πονηρὸν νομίζοντες, ὃ μὴ τοιοῦτόν ἐστιν. ἂν δὲ μηδὲν τῶν νῦν δοκούντων

[9] οὐδὲν δεινὸν] ſic Bav. nefas non eſt, oratione ea defendere, quae per nefas incuſentur. In Morell. eſt οὐδὲ δεῖ.

[10] προσήκοι] quid? quod neſcio, an his vel maxime ſuccurrere oporteat. Sic, in optatiuo, Bav. προσήκει in indicat. Morell.

[11] τὴν ἀνάγκην —] id ipſum pro cauſa ſilentii ſui allegat, quod eum debebat impellere atque cogere ad verba faciendum.

[12] εὐτυχοῦντα] ſic Morell. εὖ τυχόντα Bav. forte duobus vocabulis εὖ τυχόντα voluit dare. Sed bene habet vulgata.

[13] δὲ] ſic ♀ et Bav. καὶ Morell

[14] ὀκνήσομεν] ſic ♀ et Bav. ὀκνήσομαι Morell. ſin autem reformidabimus linguae operam illis commodare, a quibus depellenda eſt infamia, nulla alia de cauſa, quam quod inuidia laborant, defenſionis praeſidium plane tollemus.

[15] ἔχετε] ſic Bav. ἔχητε Morell.

[16] λέγων] ſic libri. videtur tamen λέγειν leg. eſſe.

των ὁ λόγος μεταϛῆσαι δυνηθείη, μένῃ δὲ ἐν ταῖς ψυχαῖς καὶ μετὰ τὴν ἀκρόασιν ἡ πρὸ τῶν λόγων ψῆφος, τότ᾽ ἤδη με φάσκειν οὐ καλῶς βεβουλεῦσθαι ἰδόντα τοῖς αἰσχίστοις ἐμαυτὸν συνήγορον. τὸν μὲν οὖν [17] ἐμὸν εἰς ἀριστείδην ἔρωτα, καὶ ὡς, αἱρέσεως μοι δοθείσης ἢ νικῆσαι πλούτῳ τὸν μίδαν, ἢ καὶ κατὰ μικρὸν ἐγγὺς ἐλθεῖν τῆς τοῦδε τέχνης, εὐθὺς ἂν ἐγενόμην τοῦ δευτέρου [18], παντὶ που δῆλον. οὐ γὰρ ἐξ ὧν ἀκηκόασί μου φάσκοντος ἐρᾷν, ὃ κἂν ψεῦδος ἦν ἴσως [19], τοῦτο συνίσασιν, ἀλλ᾽ ἐκ τοῦ πολλῷ μείζονος εἰς πίϛιν, ἐκ τῶν ἔργων αὐτῶν ἐπίϛανται, πόσον τι τὸ φίλτρον τοῦ ῥήτορος ἐν ἐμοί [20]; τὸ γὰρ, ἡνίκα ἂν ποιῶ λόγους, τῶν ἰχνῶν ἔχεσθαι τοῦ ἀριϛείδου, καὶ πειρᾶσθαι τοὺς ἐμοὺς ἀφομοιοῦν, εἰς ὅσον οἷόν τε, τοῖς ἐκείνου. καὶ κέρδος ποιεῖσθαι τοῦ βίου τό τινα τῶν καθημένων εἰπεῖν ὡς ἐοίκαμεν, σημεῖον οἶμαι παμμέγεθες τοῦ τῶν ἄκρων ἡγεῖσθαι τὸν ῥήτορα. ἐϛὶ δὲ καὶ τοῦτο αὐτὸ τιμῶντος τὸν ἀριϛείδην, τὸ τοῖς ὑπ᾽ ἐκείνου ῥηθεῖσιν ἀντιλέγειν, εἴ περ τὸ τοῖς ὑπ᾽ ἐκείνου τεθεῖσι νόμοις ἀκολουθεῖν ἔχει τινὰ τῷ θέντι τιμήν. ὁ γὰρ δὴ μάλιϛα τοῖς ὑπὸ τῶν προτέρων γεγραμμένοις ἐναντία διεξελθὼν, καὶ ταύτῃ πλέον, ἢ τοῖς ἄλλοις εὐδοκιμηκώς. καὶ μὴ τὸν χρόνον ἀξιῶν πλέον φέρεσθαι τῆς ἀληθείας, οὗτός ἐϛιν. ὥσθ᾽ ὁ μὲν ἀντιλέγειν τοῖς τοῦδε κατοκνῶν [21] ἐπιλαμβάνεται τῆς γνώμης καθ᾽ ἣν ἠξίου τοῖς προτέροις ἀντιλέγειν ἐκεῖνος.

[17] οὖν e Bavar. addidi.

[18] τοῦ δευτέρου] scil. μέρους ἀρετῆς.

[19] ἴσως e Bauarico addidi, quod idem paulo post, vbi indicabo, vitiose redundans et loco non suo a Morello relatum, omisi.

[20] τοῦ ῥήτορος ἐν ἐμοί] Post v. ῥήτορος exhibet Morelliana perperam ἴσως, quod auctoritate Bauarici hinc e sede aliena, per nefas occupata, sublatum, in suam sedem paulo ante restitui.

[21] κατοκνῶν] sic ♀ et Bauar. κατομηνῶν Morell. quisquis reformidat repugnare (sententiis maiorum) ille Aristidis mores et coepta improbat; nam ille quoque ausus est, et se indignum non censuit, maioribus repugnare.

ἐκεῖνος. ὁ δὲ τοῦτο [22] πρὸς ἀριστείδην ποιῶν, ὁ παρὰ τοῦδε πρὸς τοὺς ἔμπροσθεν γεγένηται, * τῷ [23] τοῖς παραδείγμασιν ἀκολουθεῖν, ἔπαινον τῶν ἔργων τῶν ἐκείνου παρέχεται τὸν ζῆλον. εἰ μὲν οὖν [24] πείθων λακεδαιμονίους τοὺς ὀρχηστὰς ἐλαύνειν, τούτους [25] δὴ τοὺς νῦν, ἐν τῇ τῶν νόμων ἀναγνώσει [26] τὸν λόγον ἴσῃ, λέγων ὡς οὐ δέχεται ταῦτα ὁ λυκοῦργος, οὐδ᾽ ἔστιν ἐν οἷς ἐκεῖνος ἔγραψεν, οὐδὲ πάτριον αὐτοῖς, οὐδὲ ἔννομον, ἴσως μὲν καὶ τότ᾽ ἂν εἶχον ἀντιθεῖναι λόγον. τί φής; μεταπεπτωκότων τῶν καιρῶν, καὶ τοσαύτης ἐπὶ πάντα καινότητος ἐλθούσης, καὶ τῶν ἐθῶν, τῶν μὲν ἐκκεχωρηκότων, τῶν δὲ ἀντεισηγμένων, καὶ τῆς σπάρτης ἀντὶ τοῦ κατ᾽ ἄμφω [27] τῶν ἑλλήνων ἄρχειν, μετὰ τῶν ἄλλων ὑπακουούσης, οἷς βέλτιον, τῶν παλαιῶν αὐτός τε μέμνησαι συλλαβών, καὶ τοὺς ὑποτελεῖς φόρον [28] κελεύεις, ἐν οἷς [ἡνίκα] ἐκράτουν,

ἔξον

[22] τοῦτο] malim ταὐτό.

[23] τῷ] ſic dedi de meo pro τὸ, quod eſt in libris.

[24] εἰ μὲν οὖν] concluſio huius ſententiae eſt aliquanto poſt in illis ἐπεὶ δὲ ὅλως (p. 477. 9. edit. Morell.)

[25] τούτους redit, non ad ὀρχηστὰς, ſed ad Lacedaemonios. hos puta, qui nunc ſunt.

[26] ἐν τῇ τῶν νόμων ἀναγνώσει] ſic Bav. pro tertio et quarto vocabulis dat Morelliana hoc vnum τούτων.

[27] κατ᾽ ἄμφω] terra marique.

[28] φόρον] ſic Bav. φόρους Morell. Sed perinde eſt, et parum ad rem hoc facit. maioris eſt, inſequentia ita in libris circumferri corrupto, vt reſtitui nequeant. Priſtina noſtra coniectura leuat malum, non ſanat. ſcil. pro ἐν οἷς ſuſpicabar olim leg. eſſe ἐκλέγειν. ad hanc ſententiam: illos, qui ipſi nunc vectigales ſunt, vis ab aliis vectigalia exigere, nunc, poſteaquam ordinem parendi mutarunt cum illo vetuſto imperandi, quo exciderunt. Licebat olim talia commentari et declamare, cum adhuc potentiores eſſent. Haec nos olim. Nunc ſimplicior haec videtur ratio, vt circa κελεύεις exiſtimetur quidem deeſſe φέρειν aut ἀποφέρειν aut tale quidpiam. res enim ipſa id ſtatim ſubiicit. caeterum ἐν οἷς bene videtur habere, ſcholium eius autem, vocabulum ἡνίκα puta, tollendum eſſe. quapropter etiam illud ἡνίκα vncis incluſi.

ἐν

ἐξὸν ταῦτα μελετᾷν, ἐν ᾧ τὴν τȣ̃ κρατεῖσθαι μετειλήφασι τάξιν. μυρία ἂν ἦν λέγειν πειρωμένῳ δεικνύειν, ὡς ȣ̓ καιρὸς ἔχεσθαι τȣ̃ λυκȣ́ργȣ. πῶς γὰρ ȣ̓κ ἄτοπον, ἀσπίδος μὲν ȣ̓κ ȣ̎σης λακεδαιμονίοις [29], μήτ᾽ ἀγανακτεῖν, μήτ᾽ ἐπιτιμᾷν. εἰ δέ τι τῶν παρόντων ἀπολαύȣσι καιρῶν, ἐπεισάγειν τῇ τέρψει τὸν λυκȣ̃ργον. ȣ̓ μὴν ἀλλ᾽, ὅπερ ἔφην, εἰ [30] τοῖς νόμοις * ἐκεῖνος [31] ἰσχυρίζετο μόνοις κατὰ τῶν ὀρχȣμένων, ἤνεγκα ἂν, ȣ̎πω τȣ̃το νομίζων κατηγορίαν τȣ̃ πράγματος. πολλὰ γὰρ ἂν τῶν διαφανῶς παρ᾽ ἄλλοις τιμωμένων ἐκβεβλῆσθαι [32] τῆς σπάρτης ὑπὸ τῶν νόμων. οἷον αἱ τῶν ξένων ὑποδοχαὶ πανταχȣ̃ καλὸν, ἀλλ᾽ ȣ̓κ ἐκείνοις. τείχει πιςεύειν ἀσφαλές. τοῖς * δὲ [33] εἶναι γυμνοῖς ἔννομον. αἱ δὲ περιȣσίαι πολλὰς ηὔξησαν πόλεις, καὶ πολλὴ σπȣδὴ περὶ το πλȣτεῖν ἕλλησιν ὁμȣ̃ καὶ βαρβάροις. λακεδαιμονίȣς [34] δ᾽ ἐπεπει-

ἐν ᾧ cohaeret cum κελεύας. imperas vectigalia dependenda, quo tempore Lacedaemonii in aliena poteſtate ſunt, id quod licebat agitare tum, quum adhuc rerum potirentur. ἐν οἷς autem cohaeret cum ἐξόν.

[29] λακεδαιμονίοις] ſic Bauar. λακεδαιμονίων Morell.

[30] εἰ] ſic ♀ et Bav. ἐν Mor. reſumit ſententiam, coeptam v. 4. p. praeced. in verbis εἰ μὲν ἂν, abſolutam illam quidem v. 6. huius p. quia tamen illa ſententia ab eius oppoſito ſic eſſet nimis auulſa, nunc, poſteaquam propius ad alterum membrum, illi oppoſitum, accedit, in gratiam lectoris repetit exordium prioris membri, et ipſum primum membrum praeterea ἐκεῖνος eſt leg.

[31] ἐκεῖνος] ſic dedi de meo, in libris eſt ἐκείνοις. quod erunt plerique qui probum putent, meam autem coniecturam ſuperuacaneam.

[32] ἐκβεβλῆσθαι] bene hoc ſi habet, neceſſe eſt, verſu proximo poſt ὑπὸ τῶν νόμων deeſſe συμβέβηκε. alias breuius eſſet legi ἐκβέβληται.

[33] τοῖς δὲ εἶναι γυμνοῖς ἔννομον] ſic dedi de meo. vulgata pro δὲ dat μέν. verum ſententia δὲ poſtulat. γυμνὸς hic ſignificat, non veſte nudum, ſed cui patria eſt moeniis carens. Apparet ex oppoſitione. penes alios eſt cautae conueniens prudentiae, moeniis fidere. verum his lege imperatum eſt, vt ſint nudi, h. e. moeniis haud tecti.

[34] λακεδαιμονίȣς] (Lacedaemoniis puta) in accuſatiuo. ſic Bauar.

πεπείκεσαν οἱ νόμοι τὴν πενίαν ἰσχυροτέραν εἶναι τῶν χρημάτων. μετὰ τούτων ἡγούμενος καὶ τοὺς ὀρχηστὰς κωλύεσθαι τῆς σπάρτης ἐπιβαίνειν, οὐκ ἂν εἶχον χαλεπῶς. ἐπεὶ δὲ ὅλως τὸ πρᾶγμα κακίζει, καὶ νόσον ὀνομάζει καὶ φθορὰν τῶν θεωμένων, καὶ προστίθησι τῇ βλασφημίᾳ σύρους [35], ἔδοξέ μοι προδοσία τις εἶναι, σύρον ὄντα καὶ αὐτὸν, καὶ λέγειν ἴσως δυνάμενον, σιγῆσαι. καὶ μὴ τοῖς ὑπὲρ τοῦ πράγματος λόγοις ἐξελέσθαι [36] καὶ τὸ πᾶν ἔθνος αἰτίας. ὅθεν δὲ τὸ πᾶσι παραινεῖν ἀφεὶς, σπαρτιάταις διείλεκται μόνοις, ἴσως οὐ χεῖρον ἐξετάσαι. δοκεῖ τοίνυν μοι, τοῖς κατὰ τοῦ πράγματος λόγοις οὐχ ὁρῶν ἐνοῦσαν ἀφθονίαν, ἐπὶ τὴν σπάρτην καταφεύγειν, καὶ τὰ πάτρια τῆς λακεδαίμονος, ἵνα τὴν ἐκείνων [37] σπάνιν τοῖς τῶν ἀκουόντων ἐπαίνοις ἀποκρύψῃ, καὶ τὸν λόγον ἀπὸ τῆς ἐκεῖ στενοχωρίας εἰς * πεδίον [38] ἐξαγάγῃ, βρασίδας καὶ λεωνίδας καὶ λυκούργους καὶ ἡρακλέας καὶ διοσκούρους ἄνω καὶ κάτω στρέφων. ἐπεὶ καὶ τὸ τοὺς μίμους συνάψαι τοῖς ὀρχησταῖς, οὐ μάλα θαρροῦντός ἐστι τῷ κατὰ τῶν ὀρχηστῶν λόγῳ. τί γὰρ ἔδει τοὺς κεχωρισμένους τοῖς πράγμασιν εἰς μίαν ἄγειν ὑπόθεσιν; ἐξὸν χωρὶς ἑκατέρῳ προσελθόντα χρήσασθαι πρὸς ἐπίδειξιν τῇ τομῇ. ἀλλ᾽ οἶμαι τὸ τοῦ βελτίονος σχήματος ἤλπισε χεῖρον ἀποφαίνειν ἀπὸ τῶν μετιόντων ὃ χεῖρον εἶναι δοκεῖ [39], καὶ τὴν τῶν μίμων δόξαν ἕλξειν ἐπὶ τὴν ὄρχησιν.

ἐγὼ

Bauar. datiuum dederat Mor.

[35] σύρους] cauſa haec videtur Libanio fuiſſe primaria, cur Ariſtidi obloqueretur, quod Ariſtides Syros pro natione friuola, leui, hiſtrionica, nugis et impuritati omni dedita traduxiſſet. Abluendam hanc a populo ſuo ſibi labem eſſe, exiſtimabat Libanius.

[36] ἐξελέσθαι] liberare culpa et ignominia totum genus. Sic Bav. et margo Morell. cuius textum dat ἐξελέγχεσθαι.

[37] ἐκείνων] ſcil. τῶν κατὰ τοῦ πράγματος αὐτοῦ λόγων.

[38] εἰς πεδίον] ſic dedi de meo pro εἰς παιδείαν, vt eſt in Morell. aut εἰς παιδίαν, (per iota ſimplex,) vt eſt in Bauar. opponuntur hic inter ſe στενοχωρία anguſtiae ſoli, et πεδίον campus ſpatioſus.

[39] ὁ χεῖρον εἶναι δοκεῖ] pantomimi-

ἐγὼ δὲ, εἰ μέν τι καὶ τὸ τούτων μέρος [40] ἐπανορθοῖ τὸν βίον, ἐν ὑστέρῳ ζητεῖν αἰτήσομαι δεῖν. ὅτι δὲ οὐκ ἔλαθέ με τεχνάζων ἀριστείδης ἐν τῇ μίξει [41] τῶν ἐπιτηδευμάτων, τοῦτ᾽ ἐβουλήθην ἐνδείξασθαι, καὶ ἅμα παραινέσαι τοῖς ἀκούουσι τῶν ἐκείνου, φυλάττεσθαι τὰς ἐπιβουλάς, καὶ πρῶτόν γε ἐκεῖνο θαυμάζειν ἄξιον, εἰ ταῖς ἄλλαις τέχναις μαρτύριον ἀρετῆς συγχωροῦντες εἶναι τὸν χρόνον, τὴν ὄρχησιν αὐτῷ τούτῳ κοσμουμένην [42] οὐκ αἰσχυνόμεθα. ὡς μὲν οὖν συνεισῆλθε [43] τόδε τῷ παντὶ, καὶ ὡς ἐξ ὅσου περ οὐρανὸς, ἐκ τόσου καὶ τοῦτο, καὶ ὡς ἡ τῶν ἀστέρων πορεία φυλάττουσα δρόμον ἁρμονίᾳ τινὶ καὶ θείῳ δρόμῳ * χωροῦντα [44], πάλαι παρὰ τῶν σοφωτάτων ὄρχησις προσείρηται. ταῦτα μὲν αὐτοῖς ἀφίημι τοῖς τὰ μετέωρα φροντισταῖς [45].

ἀλλ᾽

mimicam designat. Sententia est: a pantomimis, artem exercentibus, inuidia publica flagrantem, totum genus saltatorum et saltationis sperat, a se in inuidiam adductum iri.

40 μέρος] sic Bav. et margo Morell. cuius textum dat μῖμος.

41 μίξει] μείζονι margo Bav.

42 post κοσμουμένην videtur deesse ἀτιμάζοντες aut καταφρονοῦντες, aut ἐκφαυλίζοντες, aut simile quid. Si nos nostri non pudet, vilipendentes saltationem illo ipso decore (antiquitatis puta) etiam ipsam condecoratam.

43 συνεισῆλθε] συνῆλθε Bav. cum vulgata in margine.

44 χωροῦντα] sic de meo dedi. in libris est χωροῦντι. Sed adhuc quoque proximo voc. δρόμῳ offendor. quae enim dictio? δρόμον δρόμῳ χωροῦντα. lege aut ἁρμῷ aut ῥυθμῷ.

45 τοῖς τὰ μετέωρα φροντισταῖς] pro φροντίζουσι, aut pro τῶν μετεώρων φροντισταῖς. Hoc de schemate, substantiua pro genitiuis cum illis casibus construendi, quos adsciscunt ea verba, vnde ista substantiua ducta sunt, multis egit Abreschius ad Aeschylum. Olim ad h. l. istaec scripseram. τοῖς εἰς (vel περὶ) τὰ μετέωρα φροντισταῖς. nam vulgata quamquam excusari et defendi potest, quia verbum φροντίζειν, vnde ductum est φροντιστὴς, accusatiuum regit, et substantiua interdum loco genitiui cum eo casu coniunguntur, quem verba ipsorum primitiua adsciscunt: quo de schemate Abresch V. C. ad Aeschylum et alibi admonuit: vt est diligens in eiusmodi constructionibus

rario-

ἀλλ᾽ ἐκεῖνό γε τίς οὐκ οἶδε τῶν καὶ ὁπωσοῦν εἰς ἕλληνας τελούντων, ὅτι φησὶν ἡσίοδος τὰς μούσας ἐν ἑλικῶνι τὰ ᾄσματα πλαττούσας οὐκ ἀμελεῖν ὀρχήσεως. καὶ τ᾽ ἐπὶ κρήνην [46] ἰοειδέα ποσσ᾽ ἁπαλοῖσιν ὀρχεῦνται. τιμῶσαι διὰ τῆς ὀρχήσεως, οἶμαι, τὴν κρήνην, ἣν ἠξίωσαν αὐταῖς εἶναι λουτρόν. ὁ δ᾽ αὐτοῦ διονύσου χορὸς οὐδὲ ἄλλοθέν μοι δοκεῖ τέρπειν τὸν θεὸν, ἢ διὰ τῶν ὀρχημάτων, καὶ τὸ τῶν σατύρων ἔργον τοῦτο, καὶ τὸ τῶν πανῶν οὐχ ἕτερον, ἀλλὰ σύριγγι χρήσασθαι καὶ ὀρχήσασθαι. τὰς βάκχας δὲ, κἂν ἐγὼ σιωπήσω, προσθήσετε. τοσαύτη δὲ ἄρα κοινωνία λόγων τε καὶ ὀρχήσεως, ὡς ἐποίει μὲν ὁ πίνδαρος, ὠρχεῖτο δὲ ὁ πᾶν τὸ ᾆσμα. καὶ τὸν αὐτὸν εὕρομεν ἂν λόγων τε προστάτην καὶ τεχνίτην ὀρχήσεως. ἆρ᾽ οὖν ἡ ταῖς μούσαις ἐπῆλθεν ὀρχεῖσθαι περὶ τὴν κρήνην, εἰ τῶν αἰσχρῶν ἕν τι τοῦτ᾽ ἦν; ἢ τὸν αὐτοῦ θίασον ὁ διόνυσος κατὰ νοῦν ζῆν αὐτῷ ἡγεῖτο, ζῶντα ἐν ὀρχήσει, ἢ τὴν ὄρχησιν κατεδέχετο, εἰ πονηρὸν ἑώρα; τὸν δία δὲ ἡμῖν μέλλοντα τὰ αὐτὰ πείσεσθαι τοῖς ἀδελφοῖς [47], οὐχ αὕτη τῶν χειρῶν ἐξήρπασε τοῦ πατρὸς, ὅτε δὴ περὶ αὐτὸν οἱ κορύβαντες ὀρχούμενοι τὴν αἴσθησιν ἀφῃροῦντο τὸν κρόνον; ὅμηρος δὲ τήν τε ἀχιλλέως ἀσπίδα φησὶν ὑπὸ ὀρχουμένων κοσμεῖσθαι, καὶ πάλιν καταλέξας ὕπνον καὶ φιλότητα καὶ μολπὴν, καὶ ὀρχηθμὸν, ἀμύμονα τὸν ὀρχηθμὸν ὠνόμασεν. ὃν σὺ βιάζῃ ποιῆσαι τῶν αἰσχρῶν. τοὺς δὲ φαίακας ὁρῶμεν παρ᾽ αὐτῷ καὶ ὀρχηστὰς καὶ φιλοξένους. καίτοι εἰ μὲν τὸ φιλανθρώπως ἔχειν τοῖς ξένοις, τοὺς θεοὺς ἐστιν αἰδουμένων, τὸ δ᾽ ἀρέσκειν πειρᾶσθαι τοῖς θεοῖς δικαιοσύνην ἠσκη-

rarioribus indagandis et demonſtrandis: ego tamen novi, Libanium, quamquam Thucydidis, archaiſmorum affectantiſſimi, mirificum admiratorem, ab eiusmodi duris et inſolitis conſtructionibus abhorrere.

[46] καὶ τ᾽ ἐπὶ κρήνην] In Heſiodo eſt (Theogon. 3.) καί τε περὶ κρήνην, vt etiam leg. eſſe metrum ipſum docet, et firmat ipſe paulo poſt.

[47] τοῖς ἀδελφοῖς] quos Saturnus pater recens natos devorauerat.

ἠσκηκότων, οὐκ ἔστι δὲ ὁμοῦ καὶ δικαίους εἶναι καὶ διεφθάρθαι τοὺς τρόπους, οὐ πάντως, οἷς ὀρχήσεως μέλει, κακῶς διάκεινται τοὺς τρόπους. ἀλλ᾽ ἔστιν ὁμοῦ βελτίστοις εἶναι, κἀκεῖνο μὴ φεύγειν. ἀλλ᾽, εἰ δοκεῖ, τοὺς μύθους ἀφέντες καὶ τοὺς ποιητάς, ἐπὶ τὰς εὐνομεῖσθαι δοξάσας τῶν πόλεων ἔλθωμεν. οὐκοῦν ὁμολογεῖται κρῆτάς τε νόμοις ὅτι καλλίστοις χρῆσθαι, καὶ λακεδαιμονίους, εἴτε παρ᾽ ἐκείνων λαβόντας, εἴτε καὶ ἐκ δελφῶν παρὰ τοῦ πυθίου, καθάπερ κρῆτες παρὰ τοῦ διὸς, διὰ τοῦ μίνωος. μᾶλλον δὲ, εἴτ᾽ ὄντως θεοὶ τοὺς νόμους καὶ τούτοις κἀκείνοις ἔδωκαν, εἴθ᾽ ἡ τῶν νόμων ἀρετὴ τὴν τῶν θεῶν ἐπεσπάσατο φήμην, καθ᾽ ἑκάτερον δεῖ κεκρίσθαι τοὺς νόμους ἀρίστους εἶναι. φαίνεται τοίνυν παρ᾽ ἀμφοῖν ἐν πολλῇ σπουδῇ τὸ ὀρχεῖσθαι, καὶ οὐχ ὅσον μὴ κεκωλῦσθαι δεδομένον [48] τοῖς βουλομένοις, ἀλλὰ καὶ ὑπ᾽ ἀνάγκης ἐκ τοῦ νόμου γιγνόμενον. ὥστ᾽ ἴσον ἦν τὸ τὴν τάξιν λιπεῖν, τῷ τὴν ὄρχησιν ἐκλιπεῖν. τὸ δὲ μέγιστον. ἐν λακεδαίμονι, γὰρ αἱ μὲν ἄλλαι πράξεις ταῖς ἡλικίαις διῄρηντο, τὸ δὲ ὀρχεῖσθαι διὰ πάντων ἤρχετο, καὶ τοῦτο περιειλήφει γέροντάς τε ὁμοῦ καὶ παῖδας καὶ τοὺς ἐν μέσῳ. ὁ δὲ δὴ πόλεων ὅλων ἀξιώτερος εἰς μαρτυρίαν σωκράτης, ὁ σοφώτατος ἀνδρῶν ἁπάντων τῇ ψήφῳ τοῦ θεοῦ, καὶ οὗτος μέρος ἡγεῖτο τῶν προσηκόντων αὐτῷ τὴν ὄρχησιν. καὶ νῦν μὲν διελέγετο, νῦν δ᾽ ἐκεῖνο ποιῶν ἐφαίνετο. εἶτα ἆρ᾽ οὖν [49] πρᾶγμ᾽ ἀρχαῖον, καὶ παρὰ τοῖς οὕτω γενναίοις οὕτω γενναῖον καὶ καλὸν εἶναι δοκοῦν, εἰκῇ καὶ ῥᾳδίως ἡμεῖς τῶν φαύλων εἶναι πιστεύσομεν. ἑτέρα γάρ, φησιν, ἥδε παρ᾽ ἐκείνων [50] ἡ ὄρχησις, καὶ οὐκ ἔμεινεν ἐφ᾽ ὧν περ πρότερον. τί δέ; τἄλλα πρὸς θεῶν ἔμεινεν,

[48] καὶ οὐχ, ὅσον μὴ κεκωλῦσθαι, δεδομένων] neque hactenus ſolummodo conceſſum ſaltandi beneficium, vt negatum non ſit eo vti volentibus.

[49] οὖν] f. οὕτω. aut alias leg. εἶεν. ἆρ᾽ οὖν —

[50] ἣ δε παρ᾽ ἐκείνων] Num ἥδε (haec noua, hodie obtinens ſaltatio,) ἥπερ ἐκείνων atque illorum (vetuſtiſſimorum hominum ſaltatio.

νεν, ἐφ' ὧν περ πρότερον[51] αἱ οἰκίαι, τὰ ὅπλα, αἱ νῆες, χαλκευτική, ζωογραφία, ῥητορική, μουσική, ποίησις ἀγαλμάτων, τὰ περὶ ναυτιλίαν. οὐχ αἱ μὲν πρῶται τῶν οἰκιῶν οὐ διέφερον καλύβης. μικροῦ δεῖν, οὐδὲ ὀνομάζονται. τῆς δὲ ἀσπίδος οὐκ ἦν λαβέσθαι τῇ χειρὶ καὶ μετενεγκεῖν πρὸς τὴν χρείαν, θάλαττα δὲ τὰ πρῶτα μὲν οὐ διεπλεῖτο, πλεομένη δὲ οὐκ εὐθὺς τριήρεις ἐδέξατο. δεξαμένη δέ; μακρῶν ναυτιλιῶν εἶχεν ἀπείρους τοὺς πλέοντας. ὥσθ' ὑπερενεχθῆναι δήλου φοβερὸν εἶναι τοῖς ἕλλησι. τί δέ; ἡ γλαύκου τοῦ χίου[52] τέχνη κατ' ἀρχὰς ἦν; τί δέ; ἡ ζεύξιδος οὐ χρόνοις ὕστερον[53]; πότε δὲ ἔδεισαν ἄνθρωποι περὶ τῶν ἀγαλμάτων, μὴ τοῖν ποδοῖν χρώμενα φύγῃ; τῶν δαιδάλου χειρῶν οὗτος ὁ φόβος ἔργον, ὃν[54] ἐκάλυψεν ἐπιγενόμενος φειδίας μᾶλλον, ἢ δαίδαλος τοὺς πρὸ αὐτοῦ. καὶ μὴν τήν γε μουσικὴν ἀκούομεν μέχρι μὲν ἀρχιλόχου καὶ τῶν χρόνων ἐκείνων ἁπλῆν τινα καὶ φαύλην εἶναι, χωροῦντος δὲ τοῦ χρόνου πρὸς ἐπίδοσιν ἐλθεῖν. εἶεν. περὶ δὲ ῥητορικῆς πῶς σε φῶμεν φρονεῖν; ἆρ' ἴσον εἰς λόγους ἀντιφῶν καὶ μενεσθεὺς ἐκεῖνος ὁ τὸν θησέα διώκων; ἢ πάλιν αὐτὸς οὗτος ἀντιφῶν καὶ δημοσθένης; καὶ μὴν εἰ τὸ πρεσβύτερον ἄμεινον, φαυλότερος μὲν δημοσθένης ἀντιφῶντος, φαυλότερος δὲ μενεσθέως ἐκεῖνος. ἀλλ' οὐκ ἂν ὁ ῥαμνούσιος οὔτε μὴ βελτίων ἐκείνου νομίζεσθαι συγχωρήσειε, τούτου τε νομίζεσθαι βελτίων οὐκ ἂν ἀξιώσειεν.

οἶδε

[51] ἐφ' ὧνπερ πρότερον] ad postremum vocabulum, seu ante, seu post, addendum esse videtur ἦν.

[52] γλαύκου τοῦ χίου] Glaucus Chius primus (teste Pausania p. 834.) ferri artem ferruminandi inuenit. recte dat margo: τότε δ' ἔδεισαν. non multis temporibus post Glaucum nata est ars Xeuxidis? (seu post ferariam pictura.) tunc autem, cum Glaucus adhuc ferariam excolebat et perficiebat, timebatur adhuc vulgo, ne signa aufugerent, arte Daedalea eum metum animis iniiciente.

[53] οὐ χρόνοις ὕστερον] subaudi πολλοῖς ἀναπέφηνε.

[54] ὃν redit ad Daedalum, non ad φόβον.

οἶδε [55] γὰρ τοῦ μὲν κρατῶν καὶ πολύ, τοῦ δὲ ἡττώμενος οὐ μικρῷ. καὶ μὴν αὐτός τε που λέγεις οὐ μικροῖς τισιν, οὐδ᾽ ὀλίγοις αὐξῆσαι τὴν τῶν λόγων τέχνην. καὶ οὐ φθονῶ γε μὰ τοὺς θεούς, οὐδ᾽ ἀλαζονείαν τὸ πρᾶγμα καλῶ· ἀλλ᾽ ἐκεῖνό γε οὐχὶ δίκαιον εἶναι φημί, τὰς μὲν αὐτοῦ προσθήκας φάσκειν [56] λυσιτελῆσαι τοῖς λόγοις, καὶ μὴ τὰ πρότερα θαυμάζειν. εἰ δὲ καὶ τὴν ὄρχησιν τοῦτ᾽ αὐτὸ βελτίω κατέστησε, προσθήκη, καὶ τὸ μὴ τὰ πρότερα τετηρῆσθαι, δεῖγμα ποιεῖσθαι φαυλότητος. ἑτέρως, φής, ὠρχοῦντο οἱ πρότερον. καὶ γὰρ ἐναυμάχουν οὐ παραπλησίως οἱ πρότεροι τοῖς δευτέροις, οἷον μίνως πρὸς κᾶρας [57], πάρις πρὸς διοσκούρους, ἀχιλλεὺς πρὸς λεσβίους, κορίνθιοι πρὸς κερκυραίους. εἴτε τὴν παλαιοτάτην [58] βούλει ναυμαχίαν. εἶθ᾽ ἣν ἠγωνίσαντο περὶ τῆς ἐπιδάμνου. πῶς οὖν εἶχον ἐκεῖναι; τῶν μὲν νεῶν οὐ πολὺ τὸ ἔργον ἦν. τοῖς δ᾽ ἐπὶ τοῦ καταστρώματος ὁπλίταις οἱ ἀγῶνες ἐκρίνοντο, καὶ θάλαττα μὲν ὑπέκειτο, τὰ δὲ πραττόμενα τῶν * ἐν τῇ γῇ [59] δρωμένων οὐδὲν ἀπεστάτει. πάντως δ᾽ ἀκούεις θουκυδίδου λέγοντος τῷ παλαιῷ τρόπῳ [60] ἀπειρότερον ἔτι παρεσκευασμένοι. καὶ ὡς ἡ μὲν ναυμαχία καρτερά, τῇ

[55] οἶδε] nouit enim ipſe ſibique conſcius eſt, ſe, vt multis modis Meneſtheo ſit ſuperior, ita Demoſthene eſſe haud parum inferiorem. Sic dedi e Bauar. in Morell. eſt ᾔδει.

[56] φάσκειν] recepi hoc e margine Morell. cuius in texto eſt φασί. In Bav. eſt φασι ſic ſine accentu. in quo ſatis clara ſunt lectionis φάσκειν veſtigia. Nam ι et κ in codd. modis inter ſe ſimillimis exarantur, et facile fieri potuit, vt duae lineolae " quibus terminatio ειν ſignificari ſolent, a non intelligente librario praeteruiderentur.

[57] πρὸς κᾶρας] ſic Bavar. confirmans coniecturam, in margine Morell. propoſitam. in texto M. eſt καὶ κᾶρας.

[58] τὴν παλαιοτάτην] tres enim omnino enarrat Thucydides pugnas nauales, inter Corinthios atque Corcyraeos pugnatas, libro primo omnes, primam cap. 13. ſecundam c. 28. poſtremam c. 49.

[59] τῶν ἐν τῇ γῇ] praepoſitionem ἐν de meo addidi.

[60] τῷ παλαιῷ τρόπῳ —] verba Thucydidis exſtant 1. 49.

τῇ μὲν τέχνῃ [61] οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ τὸ πλέον προσφερὴς οὖσα. ἀλλ' οὐχὶ ναύπακτος ὕστερον τοιαύτην ἀπειρίαν ναυμαχιῶν ἐδέξατο, ὅτε πελοποννησίων κύκλῳ ταξαμένων ἀθηναῖοι περιέπλεον κατὰ μίαν τεταγμένοι. καὶ συνῆγον εἰς βραχὺ ψαύοντες * ὀλίγου [62] τῶν πολεμίων ἐμβολῆς δ' ἐλπίδα μὲν ἀεὶ παρεῖχον, τὸ δ' ἔργον ἀνεβάλλοντο, τὴν τοῦ πνεύματος περιμένοντες συμμαχίαν. τοιγαροῦν τὸ μὲν κατῄει, οἱ δὲ ἐταράττοντο, τοῖς δὲ ὡραῖον ἦν προσπεσεῖν, καὶ οὕτως εἴκοσι νῆες ἀθηναίων ἑπτὰ καὶ τεσσαράκοντα λακεδαιμονίων ἐνίκων, τῆς ἐπιστήμης ἐλεγχούσης τὸ πλῆθος. ἐν [63] τοίνυν τῇ δευτέρᾳ ναυμαχίᾳ πολλὰ μὲν τούτων, πολλὰ δ' ἐκείνων ἐστὶν ἐπαινέσαι, μέγιστον δ' ἀθηναίων, ὅτι διωκομένη ναῦς ἀττικὴ λευκαδίαν διώκουσαν κατέδυσε. χρησαμένη γὰρ ἀντὶ νύσσης ὁλκάδι κατὰ τύχην ἐπ' ἀγκύρας ἡσυχαζούσῃ, τὴν μὲν περιέπλευσεν, αὐτὴ δ' εἶχεν ἐμπεσεῖν τῷ τοίχῳ τῆς διωκούσης. εἰ δέ τις τότε τοῦ Φορμίωνος λαβόμενος, τί καινοτομεῖς, ἔφασκε, τί ζητεῖς εὐρυχωρίαν, τί σοὶ βούλεται ταυτὶ τὰ ὀνόματα, διέκπλοι, καὶ ἀναστροφαὶ καὶ ἐμβολαὶ, τί τὸ τῶν ἡνιόχων πολύτροπον εἰσάγεις, εἰς τὴν θάλατταν, οὐκ ἂν εἰπεῖν σοι δοκῇ; τοῦτό ἐστι ναυμαχεῖν, ὅταν αἱ νῆες τὴν νίκην διδῶσιν, ἀλλ' οὐ τοξόται βάλλοντες ἐπὶ τῶν καταστρωμάτων. σὺ δὲ ἀντὶ τοῦ συνάχθεσθαι τοῖς ἔμπροσθεν ὅτι μὴ ταύτῃ κατὰ θάλατταν ἐμάχοντο, τοῖς τελείαν παρεχομένοις τὴν ἐπιστήμην ἐγκαλεῖς. ὁ αὐτὸς τοίνυν ἐστί μοι λόγος καὶ περὶ τοῦ παρόντας, οὐκ] ἔστι * χείρω [64] τὴν νῦν ὄρχησιν εἶναι τῆς ἔμπρο-

[61] τῇ μὲν τέχνῃ] sic etiam legitur apud Thucyd. malim tamen μέντοι. valida quidem fuit illa pugna naualis, non tamen perinde (scil. valida) quoad artificium nauticum.

[62] ὀλίγου] sic de meo dedi. paene, propemodum, vulgo legitur ὀλίγον.

[63] ἐν] sic 2 et Bav. ἐ Morell.

[64] χείρω] sic de meo dedi. pro χείρονα. in Morell. est χείρων. in Bav. χείρωνα, sed α linea transuersa, subtus subducta, erat notatum, significandi ergo, delendum id esse.

πρόσθεν * εἴ τι [65] παρὰ ταύτην πλέον. ἀλλ' οὐ ψέγω μὲν ἐκείνην, ὁρῶ δὲ ταύτην ἐπὶ πᾶν τοῦ πράγματος ἥκουσαν. διέστηκε, φησιν, ἥδε ἐκείνης. καλῶς. πότερον τῷ τῶν ὄντων ἀφελεῖν, ἢ τῷ τοῖς οὖσιν ἐπιθεῖναι; εἰ μὲν γὰρ περικόψασα κατήγαγεν εἰς φαῦλον, ἀδικεῖ, καὶ εἰκότως ἐξ ἁπάσης ἂν ἐκπίπτοι τῆς γῆς, οὐ μόνον τῆς λακεδαίμονος. εἰ δὲ πάσῃ σπουδῇ κατεκόσμησε, καὶ προὐβίβασεν, ὥσθ' ἥδιστον θεαμάτων γενέσθαι, πόθεν ἁλίσκεται; φέρε γὰρ οὐ κίνησιν τῶν μελῶν σύντονον μετὰ τινῶν σχημάτων καὶ ῥυθμῶν τὴν ὄρχησιν εἶναι λέγεις; οὐκοῦν τὸν μὲν ἀργότερον ἐν τούτοις φαυλότερον ὀρχηστὴν τιθεῖς, τὸν δὲ ὀξύτερον, ἀμείνω; πᾶσα ἀνάγκη. πότερον οὖν οἵδε [66] ἐκείνων ἧττον κινοῦνται; καὶ τίς ἂν εἰπεῖν τοῦτο τολμήσειεν; ἀλλὰ τοσοῦτον πλεῖον, ὅσον ἐκεῖνοι τῶν καθημένων. εἶτα τὴν πλεονεξίαν εἰς ἐλάττωμα αὐτοῖς θήσομεν; καὶ ᾧ κρατοῦσι, τούτῳ χείρους εἶναι δόξουσι; καὶ τοὺς, ὃ τῆς ὀρχήσεως, ὅτι μάλιστα ποιοῦντας τῶν ἐν τῷ κινεῖσθαι λειπομένων δευτέρους τάξομεν; οὐκοῦν καὶ τὸν ὀξύτερον δρομέα τοῦ βραδυτέρου δεύτερον καὶ τὸν ἐπιστροφάδην κτείνοντα τοὺς πολεμίους, τοῦ πρὸς ἕνα τινὰ τῶν ἐναντίων τετραμμένου; κατηγόρει [67] δὲ καὶ τῶν νῦν ἡνιόχων διὰ τὴν πολυπειρίαν καὶ τόλμαν, καὶ μηχανὰς, καὶ τὸ μηδὲν ὀκνεῖν. οἱ πρὸς τῷ τὰ ἑαυτῶν εὐθύνειν [68] ἅρματα, καὶ τοῖς

65 ἔτι] rurſus hoc de meo eſt. libri dant ἔτι. παρὰ reliqui vt erat, quia gemina poteſt iniri loci emendandi ratio, ſiue vt ſenetur παρὰ, ſiue vt cum περὶ mutetur. Si prius, locum ſic lego et expono: εἰ παρὰ ταύτην ἔχει τι πλέον, fieri nequit, vt moderna ſaltatio ideo deterior ſit vetuſta, eique poſtponenda; quod in moderna plura ſint, quam fuere in vetuſta. Sin autem παρὰ cum περὶ mutes, ſic erit locus exponendus. Non ideo debebit recentior ſaltatio vetuſtiori poſtponi, quoniam eam (recentem puta) eſt aliquid plus, h. e. quod plenior et comtior eſt, quam vetuſta.

66 οἵδε] recentiores ſaltatores. ἐκείνων] quam illi veteres.

67 κατηγόρει eſt imperatiuus: *accuſa.*

68 εὐθύνειν] malim ἰθύνειν.

τοῖς ἀλλοτρίοις ἐπιβάλλουσι τὰς χεῖρας, τῶν πρὸ τούτων τάχει τῶν ἵππων ὡς τὰ πολλὰ θαῤῥούντων, καὶ οὐκ ἀπείρων μὲν ὄντων τῆς τέχνης, οὐ τοσοῦτον δὲ κεκτημένων. κατηγόρει καὶ Πυῤῥίχου δείξαντος ὄρχησιν ἔχουσάν τι τῆς πρεσβυτέρας πλέον, καὶ, μὴ διδοὺς ἐκείνῳ τῆς προσθήκης ἄδειαν, τοὺς ἐπ' ἐκείνῳ δυναμένους εὑρεῖν τι, κώλυε [69]. ὠρχοῦντο ἑτέρως· πάλαι τοῦτο εὐδοκίμει. νῦν ἐπέδωκεν ἡ κίνησις. τοῦτο κρατείτω. ἢ ταῖς μὲν ἄλλαις τέχναις δώσομεν προβαίνειν, κατὰ τὴν εὕρεσιν, ταύτην δ', εἴ τι [70] σοφώτερον εὗρε, μισήσομεν; καὶ οὐκ ἀκουσόμεθα τοῦ λέγοντος, ὡς ἐν ταῖς τέχναις τὰ ἐπιγιγνόμενα [71] κρατεῖ. νὴ δία, λύμη γὰρ πόλεων εἰσι [72], καὶ οἴκων, καὶ ὅστις εἰς αὐτοὺς βλέπει, διόλωλε, καὶ τὸ μὴ τούτων ἀπηλλάχθαι κακὸν [73] ἔσχατον. ἡ μὲν καταδρομὴ γενναία τοῦ λόγου καὶ τοῖς χειμάῤῥοις ἐοικυῖα. πάντα τὰ χείριστα ταῖς τούτων οὐδαμοῦ [74]. εἰ μὲν οὖν ἀρκεῖ καλέσαι κάκιστον, καὶ τὸ ῥῆμα τὴν πίστιν ἔχει, τῶν ὀρχηστῶν οὐδὲν μιαρώτερον. ὡς οὐκ ἔστιν ὃ παραλέλοιπεν ὁ ἀνὴρ τῆς εἰς αὐτοὺς [75] βλασφημίας. εἰ δὲ χωρὶς ἔλεγχός τε καὶ τὸ κακῶς εἰπεῖν,

[69] κώλυε] in imperatiuo. ſic Bauar. et margo Morell. in cuius texto eſt ἐκώλυε. *impedi eos, qui melius quid poſt eum inuenire potuerunt.* ὠρχοῦντο ἑτέρως. *ſed ſaltabant tamen aliter?* (reſponſio) πάλαι τοῦτο εὐδοκίμει. *olim placebat hic mos.* νῦν δὲ — *nunc autem* —

[70] εἴ τι] ſi quid ſapientius inuenit (ars puta ipſa ex ſemet) ſic Bav. et margo Morell. cuius textum dat εἴ τις. quod ſi probetur vtrumque τις, et τι erit hunc in modum copulandum εἴ τις τι σοφώτερον εὗρε.

[71] τὰ ἐπιγιγνόμενα] articulum e Bauarico addidi, et ex ♀.

[72] εἰσί] ſaltatores puta. verba haec λύμη γὰρ vsque ad ἔσχατον ſunt ipſius Ariſtidis ex illa oratione recitata, cuius haec eſt aduerſaria. Pari modo οἶμαι γὰρ πρὸς ταῦτα ſunt eiusdem.

[73] κακὸν] κακῶν Bauar.

[74] πάντα τὰ χείριστα ταῖς τούτων οὐδαμοῦ] ſic quodammodo ſarcias: πάντα τὰ χείριστα κατηγορεῖ αὐτῶν, πίστεις δὲ τούτων οὐδαμοῦ. *peſſima quaeque de ipſis praedicat; fides vero criminum nulla vsquam conſpicitur.*

[75] αὐτοὺς] ſic ♀ et Bav. αὐτὸν Morell. ἀνὴρ eſt Ariſtides. αὐτοὺς deſignat ſaltatores.

πεῖν, ἀκηκόασι μὲν οὗτοι κακῶς. ὅθεν δὲ δεῖ πιστεῦσαι τοῖς εἰρημένοις, οὐκ ἔστιν. ἄξιον δὲ καὶ τῶν ῥημάτων αὐτῶν ἀκοῦσαι. „οἶμαι γάρ, εἴ τις δύο * ποιήσειε[76] μερίδας τῶν[77] ἐν ἀνθρώποις ἁπάντων κακῶν, τὴν μὲν τῶν τούτοις προσόντων, τὴν δὲ * τῶν[78] ἄλλοις, μηδαμοῦ μηδὲν τἄλλα ἂν εἶναι δόξαι πρὸς ταῦτα.„ ταυτὶ θυμὸν μὲν ἐμφανίζει πολύν. βέβλαπται δὲ καὶ ὁ λόγος τῷ θυμῷ. τῆς γὰρ ὑπερβολῆς γενόμενος, τὸ πρᾶγμα δὲ οὐκ ἐξετάσας, ἐξώσθη[79] τοῦ πιθανοῦ. τίς γὰρ ἂν συγχωρήσαι, τῶν ἄλλων ἁπάντων, ὅσα παρ' ἀνθρώποις[80] τολμᾶται πλείω τὰ τούτων εἶναι καὶ μείζω; τούτους γὰρ μετὰ μὲν τῶν ἀρίστων θεῖναι, ὧν οἱ μὲν ἐν λόγοις, οἱ δ' ἐν ἔργοις τὰς αὐτῶν φύσεις[81] ἐπεδείξαντο, οὔτ' ἴσως εὐσεβὲς, οὔθ' ὅσιον· πάλιν δὲ τῶν πονηροτάτων κακίους ἄγειν, οὐδὲ τοῦτο δίκαιον. ἀλλ' ἔστιν ὅστις Ἀριστείδῃ πείθεται, τὸν ὀρχηστὴν τουτονὶ, τὸν τὰ τῶν θεῶν ἔθη μιμούμενον, δεινότερα ποιεῖν τῶν ἀνασπώντων βωμοὺς, καὶ συλώντων ἀναθήματα καὶ κατασκαπτόντων ἱερὰ, καὶ κατακαιόντων ἀγάλματα; τί δέ; τῶν τὰς αὐτῶν προδιδόντων πατρίδας; ἢ τῶν ἐπὶ φόνοις κατειληφότων τὴν ἐρημίαν; ἢ τῶν ἐπὶ τῷ κακουργεῖν πλεόντων τὴν θάλατταν; ἢ τῶν διορυττόντων τάφους; ἢ τῶν τὰ δηλητήρια κεραννύντων; ἀλλ' οἱ πατραλοῖαι μικρὸν πρὸς τούτους; ἀλλ' οἱ τὰ ψευδῆ μαρτυροῦντες; ἀλλ' οἱ πεπλασμένα γράμματα κατὰ τοῦ δικαίου γράφοντες; ἀλλ' οἱ μητέρας, ἀλλ' οἱ παῖδας κτείναντες[82]; πόθεν ποτὲ ἐπῆλθέ σοι πάντα[83] πονη-

ρὸν

76 ποιήσειε] ſic dedi de meo. ποιήσει Morell.

77 τῶν e Bauav. addidi.

78 τῶν de meo addidi. eius loco eſt in Bav. τοῖς. neutrum habet Morell.

79 ἐξώσθη] ſic Bauar. et margo Morelli cum ἴσως, textum dat ἐξώσθη.

80 ὅσα παρ' ἀνθρώποις] ſic libri. ego malim ὅσα περ ἀνθρ.

81 τὰς αὐτῶν φύσεις] mediam vocem e Bav. addidi.

82 κτείναντες] ἀποκτ. Bauar.

83 πάντα] malim τὸν πάντα. hominem modis omnibus flagitioſum et ſceleratum. vt πάντα ἀγαθὸς vſurpatur, ita quo-

que

ρὸν μετριώτερον ὀρχηστοῦ νομίσαι; ὁρᾷς ταυτὶ τὰ δεσμωτήρια; ταῦτα ἐκ τίνων ἐμπέπλησται; τῶν ἐκεῖνα[84] κακουργούντων, ἢ τῶν ὀρχουμένων; καίτοι τίνα ἔχει λόγον τὰς πόλεις παρ' ὧν μὲν ἀδικοῦνται * τὰ μείζω[85], τούτους μὲν ἐᾷν ὀρχεῖσθαι, τοὺς δὲ τὰ μικρὰ λυποῦντας εἰς τὸ δεσμωτήριον ἕλκειν; καὶ τοῖς μὲν ἀργύριον συλλέγειν, καὶ πορίζειν ἀφορμὰς, τοὺς δὲ τὰς ψυχὰς ἀφαιρεῖσθαι, καὶ συνθεῖν, ἡνίκ' ἂν ἀποτέμνωνται τὰς κεφαλάς; ἢ πρὸς διὸς, ὧν μὲν ὑπ' ἄλλων ἀδικοῦνται, καὶ τὰ κοῦφα ἀφόρητα, τὸ δ' ἀφόρητον τῇ φύσει κοῦφον ἂν εἴη, ὀρχηστὴς πονηρευόμενος; ἢ καὶ παιδὸς μὲν οὐκ ἂν ἀνάσχοιτο πατὴρ ἀδικοῦντος, πάσχοντες δὲ κακῶς ὑπὸ τῶν ὀρχηστῶν προσκυνοῦσιν, ὥσπερ οἱ πέρσαι τὸν δεσπότην; πόθεν οὖν οὐ κρίνονται; πόθεν οὐ κολάζονται πάντας ἀπολιπόντες κακίᾳ; φράσον. ἀλλ' οὐκ ἂν ἔχοις, εἰ μὴ νὴ δία τὴν ἄϊδος κυνῆν, ἢ τὸν γύγου[86] δακτύλιον ἔχοντες ἀδικοῦσιν, ὑφ' ὧν λανθάνουσιν. καὶ μὴν οὐ σὲ λελήθασιν, ὃς οὕτω λαμπρῶς τὰ κείνων τραγῳδεῖς. (εἰ δὴ τὰ κείνων·) οἱ δὲ ἄρχοντες οἱ τῶν πόλεων φύλακες ὅταν τοὺς μὲν λῃστὰς πέμπωσιν ἐπὶ τὸ βάραθρον, τοὺς δὲ ὀρχηστὰς ἐν τῷ θεάτρῳ καθήμενοι δωρῶνται. τί σοὶ δοκοῦσι ποιεῖν; τέρπεσθαι τοῖς οὐδὲν ἀδικοῦσιν, ἢ πονηρίαν τιμᾷν; καὶ τὰ αὐτὰ κολάζειν τε καὶ τιμᾷν; μᾶλλον δὲ τὰ μὲν ἐλάττω κολάζειν τῶν κακῶν, τὰ δὲ μείζω τιμᾷν; εἴγε ὀρχησταὶ τῶν λῃστῶν χαλεπώτεροι. „αὐτοί τε γάρ[87], φησιν, αἰσχρῶς βεβιώκασι καὶ τοὺς

que πάντα κακὸς, vbi κατὰ subauditur.

[84] ἐκεῖνα] illa nota scelera, ob quae malefici nempe in vincula dantur.

[85] ἀδικοῦνται τὰ μείζω] id est εἰς τὰ μέγιστα. Sic dedi de meo. libris deest articulus.

[86] τὸν γύγου] sic, in masculino, ♀ et Bauar. articulum in genere neutro, τὸ, dat Morell.

[87] αὐτοί τε γὰρ] rursus haec Aristidis sunt αὐτοί τε γὰρ αἰσχρῶς ad ἃ μὴ βέλτιον primae accusationis refutatio procurrit ad p. 491, 27. ed. M. quae accusatio ducta est a turpitudine vitae pantomimorum.

τοὺς θεωμένους προσαπολλύουσιν ἐφελκόμενοι πρὸς ἃ μὴ βέλτιον." ἐνταῦθα δοκεῖ μέν τι λέγειν ἐνίοις, τὸ δ' ἀληθὲς ἀντιψηφίζεται τῷ λόγῳ, διαλέξομαι δὲ περὶ ἑκατέρου χωρὶς, ἂν, ὃ τὴν ἀρχὴν ᾐτησάμην, παρὰ τῶν ἀκροωμένων ὑπάρχῃ μοι. τοῦτο δέ ἐστι μὴ θορυβεῖν. ἐκ τίνος γὰρ δὴ δικαίου φὴς ἅπαντας ὀρχηστὰς ἠταιρηκέναι; πότερα παρὰ [88] τῶν μάντεων ἀκούσας; ἢ ψῆφον ὁρῶν δικαστῶν ἐνηνεγμένην; ἢ λαβὼν αὐτοὺς ὁμολογοῦντας; καὶ μὴν εἰ μέλλει τις ἀναμφισβητήτως [89] ἐν τοῖς ἠδικηκόσι τετάξεσθαι, ταῦτα ἡγήσασθαι δεῖ, γραφὴν, μαρτυρίαν, ἀπολογίαν, ἔλεγχον, γνῶσιν. εἰ δὲ μὴ ταῦτα, ὁμολογίαν. οὕτω τὸν δεῖνα προσερεῖς ἀνδροφόνον, οὕτω μοιχὸν, οὕτω προδότην. ἄνευ δὲ τούτων ὁ καλῶν, ἐλοιδόρησε. πῶς οὖν οὐ δεινὸν, ἐπὶ μὲν τῶν ἄλλων τὸν κριθέντα μὲν, οὐχ ἁλόντα δὲ, καθαρὸν δοκεῖν, οἷς δὲ οὐδὲ ἐπέστη κατήγορος, τούτους ἐν τοῖς τῶν ἐξεληλεγμένων ὀνείδεσιν εἶναι; καὶ τοῖς μὲν ἄλλοις μὴ εἶναι τὴν αἰτίαν βλάβην εἰς δόξαν, τοὺς δὲ μηδὲ * αἰτίαν [90] ἐν δικαστηρίῳ λαβόντας, ἃ τῶν ἑαλωκότων ἐστὶν, ὑπομένειν; ἄκουε τοίνυν ἕτερον. εἰσί τινες ἐπ' οἰκήματος καθήμενοι, κακῶς τῇ φύσει κεχρημένοι, καὶ τὴν ἀπὸ τοῦ τὰ αἴσχιστα πάσχειν προσηγορίαν οὐκ ἀρνούμενοι. τούτοις πληγεῖσιν ὑφ' ὁτουοῦν, καὶ νὴ δία γε συγκοπεῖσιν, οὐκ ἔστι δραμεῖν εἰς δικαστήριον, οὐδ' ἀνακραγεῖν, οὐδὲ βοηθῆσαι τοὺς νόμους, οὐδὲ δίκην ἀξιῶσαι λαβεῖν. εἰκότως. ἐν ᾗ γὰρ ἡμέρᾳ τὴν φύσιν ἠδίκουν, τούτων αὐτοὺς ἀπεστέρουν. ἆρ' οὖν καὶ τὸν ὀρχηστὴν θαῤῥῶν πατάξεις, καὶ τὴν ἐσθῆτα περιῤῥήξεις; ἢ τρώσας τὴν κεφαλὴν, κελεύσεις σιγᾷν; * εἴσῃ [91] μὲν οὖν ἃ καλῶς παρὰ τῶν νόμων

[88] παρὰ de meo dedi. in libris est περί.

[89] ἀναμφισβητήτως] sic ♀ et Bav. ἀναμφισβήτως Morell.

[90] αἰτίαν] sic dedi de meo. in libris est αἴτιον.

[91] εἴσῃ] sic de meo dedi. in libris est εἰσί. ſcies tu quidem, ἃ καλῶς ποιοῦντες (id enim addendum videtur) παρὰ τῶν νόμων ἔχουσι. quae illi (hiſtriones puta) iura habent, ſibi ſic meritis a legibus indulta.

νόμων [92] ἔχουσιν, ὅταν ἐκεῖνος [93] μὲν τρέχῃ παρὰ τὸν δικαστὴν, καὶ λέγειν ἔχῃ, * συνοργίζωνται [94] δὲ τόσοι καὶ τόσοι, κολάζῃ δὲ τὸν ὑβριστὴν ὁ τῆς ψήφου κύριος. τῷ πότ' οὖν ἐπαρθεὶς τὴν πορνείαν περιάπτεις τῷ γένει; σὺ δ' ἰσχυρίζῃ, φησὶ, πάντας σωφρονεῖν [95]; ἀλλ' οὐδὲ πάντας γε πορνεύεσθαι φαίης ἄν. εἰ γὰρ δὴ τὴν κρίσιν ἀπὸ τῶν λεγομένων ποιεῖσθαι προσήκει, περὶ μὲν τῶν, ὡς οὐκ ἐφύλαξαν τὴν ὥραν, λεγόντων ἐστὶν ἀκούειν. εἰσὶ δὲ οἳ καὶ λίαν εἰς σωφροσύνην ἐπαινοῦνται. φασὶ δέ τινα ἐν Παλαιστίνῃ τοσαύτην ἄσκησιν ποιεῖσθαι κοσμιότητος, ὥσθ' ὑπὸ τῶν ἀκρέων ἐν ταῖς πόλεσιν ἐπὶ [96] παιδία καὶ γυναῖκας εἰσάγεσθαι, καὶ μηδαμοῦ δοῦναι χώραν αἰτίᾳ. καὶ μὴν καὶ τὸν παρ' ἡμῖν ποτε λάμψαντα καὶ τὸν [97] ὁμώνυμον [98] τοῦ παλαιοῦ βουκόλου, παρ' ᾧ περὶ τοῦ κάλλους ἐκρίθησαν αἱ θεαὶ, σοφιστὴς [99] τύριος, ὃς τῇ γλώττῃ τὰ τοῦ Ποσειδῶνος ἴσχυε, σείων τε καὶ τινάσσων ἅπαντα. τοῦτον οὕτως ἐθρήνησε κείμενον, καὶ μεγαλοπρεπὲς ἐντάφιον αὐτῷ τὸν λόγον ἔδωκεν, ὡς οὐκ οἶδ' ὅ, τι ἂν ἐζήτησε μεῖζον, εἰ σοφιστὴν οἰχόμενον ἐτίμα, ὅς γε καὶ τοῦτ' αὐτὸ [100] προσειπεῖν ἠξίωσε τὸν ὀρχηστήν. πάνυ γὰρ αὐτὸν [1] εἵλετο καταῤῥυπαίνειν ἐν τοῖς ἐγκωμίοις τοῦ πόρνου. ὁρῶμεν

[92] νόμων] ſic dedi e Bauarico. In Morell. eſt νέων.

[93] ἐκεῖνος] ſaltator puta iniuria laeſus.

[94] συνοργίζωνται] ſic, in coniunctiuo dedi de meo, pro indicatiuo, qui eſt in Mor.

[95] σωφρονεῖν; ἀλλ'] interponendum videtur οὐ *neutiquam.*

[96] ἐπὶ] ſic ♀ et Bav. qui ἐπὶ παῖδας dat in texto. ὑπὸ παιδία dat Morell. et margo Bav.

[97] καὶ τὸν] aut illud, aut hoc eſt delend.

[98] τὸν ὁμώνυμον] Paris hic Antiochenus ab illo Neroniano et Claudiano diuerſus eſt.

[99] σοφιστὴς] quisnam hic eſt? ſophiſta Tyrius tonare et fulminare eloquentia valens? Maximus quidem, vulgo Tyrius dictus, non eſt.

[100] τοῦτ' αὐτὸ] pantomimum Parin ſophiſtae appellatione condecorauit.

[1] αὐτὸν] eſt ironica oratio. nam profecto mirifice geſtiebat ille ſophiſta dignitatem ſui gradus inquinare, laudibus cinaedi depraedicandis.

μεν * δῆτα [2] καὶ αὐτοὶ τοὺς πλείονας ἐν μὲν τῇ νεότητι φρουρουμένους, τοὺς μὲν ὑπὸ μητέρων, τοὺς δὲ ὑπὸ πατέρων, εἰσὶ δὲ οἷς ἀντὶ τούτων ἀδελφοὶ κατέστησαν. καὶ τοὺς περὶ ταῦτα [3] ἐσπουδακότας καταρρωμένους τοῖς φύλαξιν. οὐκ ἄρα [4] ταῦτα ὁρῶμεν περὶ τοὺς νέους τῶν ὀρχηστῶν, οὓς ἀπαλλάττει τῆς τοιαύτης φυλακῆς ὁ τοὺς κινδύνους παρελθὼν χρόνος. δεδόσθω [5] δὴ τοὺς οὐ φρουρουμένους [6] ὀλισθεῖν. ἀλλ᾽ οὐχ οἵ γε φροντίδος τετυχηκότες ὠλισθήκασιν. ἐκεῖνοι ἔστιν ἐν ὀρχήσει ζῶντα σωφρονεῖν. πῶς οὖν ἅπαντες ὀρχησταὶ πόρνοι; ἕως γὰρ ἂν εἷς ἐν τῇ τέχνῃ * φαίνηται [7] σεσωφρονηκώς, οὐδεμίαν ἀνάγκην ἔχει τὸν ὀρχούμενον πεπρακέναι τὴν ὥραν. εἰ μὲν γὰρ ἕν τι καὶ τοῦτο ἦν τῶν συνιστώντων τὴν τέχνην, καὶ οὐκ ἦν λαβεῖν ἐκείνην ἄνευ τοῦ τὸ σῶμα καταισχύναι, κοινὸν ἂν κατὰ πάντων τῶν ἐν ὀρχήσει [8] τοὔνειδος. εἰ δ᾽ ἔστι καὶ σωφρονοῦντα ὀρχηστὴν ἀγαθὸν εἶναι, καὶ μᾶλλόν γε, ὅσον περ ἂν μὴ τὴν γνώμην ἀπὸ τῆς σπουδῆς ἐπὶ τὰς ἡδονὰς ἕλκηται, τί τὸ κεχωρισμένον τῆς τέχνης [9] μέρος ἡγούμεθα τῆς τέχνης; οὐ γὰρ ἄξιον τὰς τῶν μετιόντων πονηρίας ἐγκλήματα ποιεῖσθαι τῶν πραγμάτων. οἷον, ἤδη τις φιλοσόφων ἥττων ἐγένετο χρημάτων. ἆρ᾽ οὖν ὑπὸ τῆς φιλοσοφίας εἰς τὸ δοῦλος εἶναι χρημάτων προήχθη; καὶ μὴν αὕτη γε ἐδίδασκε παντὸς χρυσίου καταφρονεῖν, ὁπόσον ἐστί τε καὶ γίγνεται. εἰ δὲ ἡ τῆς φύσεως κακία κρείττων ἐγένε-

[2] δῆτα] sic dedi de meo. in Morell est δέ τι. in Bav. δή τι.

[3] ταῦτα] haec, de quibus hic agitur, scil. τὸ διαφθείρειν τοὺς νέους.

[4] οὐκ ἄρα] malim οὐ κάρτα δὲ ταῦτα ὁρῶμεν non admodum crebra istaec videmus.

[5] δεδόσθω sic ♀ et Bav. δόσθω Morell.

[6] φρουρουμένους] φρουρουμένους Bavar. et margo Morell.

[7] φαίνηται] sic dedi de meo pro φαίνεται (in indicat.) quod est in libris.

[8] τῶν ἐν ὀρχήσει] forte ζώντων est addendum, subaudiendum certe.

[9] τὸ κεχωρισμένον τῆς τέχνης] eam rem, quae ab arte seiuncta est, id est consectationem voluptatum teterrimarum.

ἐγένετο τῆς νουθεσίας, ὁ μὲν ἄθλιος, ἡ δὲ ἀρίστη. πάλιν τις ἰατρὸς, ᾧ σώζειν προείρητο παρὰ τῆς τέχνης, ἐπίτηδες ἀπήνεγκε τὸν νοσοῦντα. τοῦτο οὖν ἰατρικῆς, τὸ διαφθείρειν; οὐ μὰ δία. ἀλλὰ τὸ σώζειν. ° προείρητο [10] γὰρ παρὰ τῆς τέχνης, ὁ δὲ ἐγένετο κακὸς ἐν τῇ τέχνῃ. τοῦτο δὲ οὐ κακία τῆς τέχνης. οὐδὲ γὰρ, εἴ τις ῥητορικὴν μανθάνων ἑταιρεῖν εἵλετο, οὐδ᾽ εἴ τις ἡνίοχος ὢν μετέδωκε τῆς ὥρας τοῖς ἐρασταῖς· ὁ μὲν τὴν δωρεὰν ποσειδῶνος, ὁ δὲ τὴν ἑρμοῦ διαβεβλήκασιν. ἀλλ᾽ οἱ μὲν κακοδαίμονες, αἱ δὲ τὰς αὐτῶν ἀρετὰς οὐκ ἀπολωλέκασι. καὶ νῦν, εἰ ἔδωκέ τις αὐτὸν ὀρχηστὴς [11] τοῖς ὑβρίζειν ἐθέλουσι κακὸς κακῶς ἀπόλοιτο μετὰ τῶν ἐραστῶν. αὐτὸς μὲν γὰρ οὐ καλῶς περὶ τῶν αὐτοῦ βεβούλευται. τὴν ὄρχησιν δὲ κακὸν οὐκ ἔστιν ὅπως ἀπέφηνεν. ἔχω δὲ κἀκεῖνο λέγειν ἰσχυρὸν, ὥς γε ἐμαυτὸν πείθω. εἰ μὲν ἅπαντες οἱ ζῶντες ἐν ἄλλοις ἐπιτηδεύμασι πάντες ἐφεξῆς ἐγένοντο τοῦ ναρκίσσου ζηλωταὶ, καὶ τοὺς αὐτῶν γονεῖς εὐδαίμονας τῇ σφῶν αὐτῶν ἀπέδειξαν σωφροσύνῃ, καὶ τὸ τῆς ἀκρασίας ἐν τοῖς ὀρχουμένοις ὥριστο, πολλῆς ἀνοίας, μᾶλλον δὲ μανίας, τοῖς ἃ προσήκει, κακῶς λέγουσιν ἐναντιοῦσθαι. εἰ δ᾽ οὐ τέχναις τὸ σωφρονεῖν καὶ μὴ διώρισται, τὸ δὲ τῆς φύσεως, ὁποτέρως ἂν ἔχοι, κρατεῖ, τί τὴν ὄρχησιν ἀντὶ τῶν τρόπων μισοῦμεν; ἐγὼ γὰρ καὶ τῇ πινδάρου ψήφῳ περὶ τῆς φύσεως ἕπομαι, κράτιστον αὐτὴν ὁριζομένῃ πανταχοῦ. καὶ τῇ γε εὐριπίδου πειθόμενος οὐκ αἰσχύνομαι. τί οὖν εὐριπίδης [12]; λέγει,

[10] προείρητο] imperatum, denunciatum fuerat. Sic dedi de meo. προήρητο Morell. et Bavar.

[11] ὀρχηστὴς] ſic ♀ et Bav. ὀρχησταῖς Morell.

[12] τί οὖν εὐριπίδης] ſic diſtinguo: τί οὖν Εὐριπίδης; *quid ergo Euripides?* ſcil. dicit, aut agit? λέγει τῆς Ἑλένης —, cum Helena, quo tempore tumulum ſororis ſua coma debebat coronare, parcit ſuae comae, eumque honorem manibus ſororis negat, tum ſic ait poëta: O Natura, quam magnum es ἀνθρώποισιν hominibus es malum et bonum item, perquam ſalutare recte te utentibus! Ab ea, ait, παρ᾽ ἐκείνης, ab ea exſiſtit hominibus et virtus et vitium.

λέγει, τῆς ἑλένης φειδομένης τῶν τριχῶν, ἐν ᾧ δεῖ τιμῆσαι τῆς ἀδελφῆς τὸν τάφον. ὦ φύσις ἐν ἀνθρώποις ὡς μέγ᾽ εἶ κακὸν σωτήριόν τε τοῖς καλῶς κεκτημένοις. παρ᾽ * ἐκείνης [13], φησιν, ἀνθρώποις ἀρετὴ καὶ κακία. τὸ δέ γε βέβαιον αὐτῆς ἑτέρωθι δηλοῖ λέγων. ὁ δ᾽ ἄρ πονηρὸς [14] οὐδὲν ἄλλο πλὴν κακὸς, ὁ δ᾽ ἐσθλὸς, ἐσθλός. οὐ βούλεται, τῆς φύσεως οὐδὲν εἶναι δυνατώτερον, οὐδὲ τοσαύτην ἔχειν ἰσχὺν, ὥστε τὰ κείνης μεθιστάναι. τὴν αὐτὴν τῷ σοφοκλεῖ φωνὴν ἀφιεὶς. λέγει γὰρ δήπου κἀκεῖνος· ὅ τι γὰρ φύσις ἀνέρι δῷ [15], τό δ᾽ οὔ ποτ᾽ ἂν ἐξέλοις. μάτην οὖν προσάγεις τὰς μαθήσεις ὡς μετακινήσων τὴν φύσιν. ὅ, τι γὰρ ἐκείνη δέδωκε, τοῦτο πάγιον ἔστηκε, καὶ οὐ τοῖς ἔθεσιν εἴκουσιν αἱ φύσεις, ἀλλ᾽ ἡ τούτων ἰσχὺς ἀνωτέρα τῶν ἐθῶν. τί οὖν ὁ λόγος σημαίνει; ὁ φύσει σωφροσύνῃ χαίρων οὐκ ἂν ὀρχούμενος γένοιτο πόρνος. ὁ φύσει ῥέπων [16] εἰς ἀκρασίαν οὐκ ἂν ἀγόμενος εἰς σωφροσύνην ἐπιδοίη. διὰ τοῦτο ἤδη τινες ἔζων [17] ἐν μέσῳ παιδαγωγῶν, καὶ πολλοῖς ὀφθαλμοῖς κεκυκλωμένοι [18] πανταχόθεν, ἀπειλαῖς, φόβοις, ἐλπίδι πληγῶν. ταῦτα πάντα ὑπερβάντες τὰ τειχία, διελέχθησαν τοῖς ἐρασταῖς. οὕτω γὰρ εὐπρεπὲς εἰπεῖν. τίνος ἕνεκεν; ὅτι φύσει μάχεσθαι ἔργον. οἶδα ἔγωγέ τινας, ὥρᾳ μὲν ὑπὲρ τὸν ὑάκινθον, γονέων δὲ ἀπηρτημένους, παιδαγωγῶν δὲ ἐλευθέρους, ἀκολούθων δὲ ἐρήμους, μυρίων μὲν ἐπισπασαμένους ὄμματα τῷ σώματι, βλέ-

[13] παρ᾽ ἐκείνης] scil. τῆς φύσεως. Sic dedi de meo. in libris est ἐκείνοις.

[14] ὁ δ᾽ ἄρ πονηρὸς] ὁ δὲ πονηρὸς Bauar.

[15] ὅ, τι γὰρ φύσις ἀνέρι δῷ] malim, sine γὰρ, metro convenientius sic legi. ὅ, τι φύσις ἀνδρὶ δῷ.

[16] ὁ φύσει ῥέπων] responsio haec est ad superiorem interrogationem, quid sibi velit illa nota vulgaris dictio. Natura pudori deditus, etiamsi saltet, tamen ideo non fit cinaedus. Nempe hoc sibi vult illa dictio: Natura propensus ad intemperantiam —

[17] ἔζων aut plane delendum est, aut cum ζῶντες mutandum.

[18] κεκυκλωμένοι] sic ♀ et Bav. κεκυκλωμένοις Morell.

βλέψαντας δ' εἰς οὐδένα πώποτε, καὶ πολλῶν μὲν θεατῶν ἐν μέσῳ στάντας, πάντων δὲ ὑπερενεχθέντας, καθάπερ πτηνούς. ὀρφανῶν δὲ σωφροσύνην οὐκ ἂν προσθείην, μή με τις ἐμαυτὸν ὑπολάβοι λέγειν. πόθεν δὴ καὶ τοῦτο οὕτως ἔχει; παρ' εὐριπίδου δέχου τὴν ἀπόκρισιν, λέγοντος. ὡς ἡ σώφρων οὐδ' ἂν ἐν βακχεύμασι [19] διαφθαρείη. παῦσαι δὴ τὴν ὄρχησιν συκοφαντῶν. κἂν ἴδῃς ὀρχηστὴν ἀκόλαστον, ἐκεῖνο λέγε πρὸς σαυτόν [20]. ὡς οὗτος μέντοι καὶ σκυτοτόμος ὤν, ἢ τέκτων, γύννις ἂν ἦν. κἂν ἴδῃς [21] τέκτονα σωφρονοῦντα, πάλιν ἐκεῖνο λέγε πρὸς σαυτὸν, ὡς οὗτος [22] οὐδ' ἂν ἐν ὀρχήσει τὸ σωφρονεῖν ἀπώλλυ. τὰς γὰρ κόμας [23], φησὶν, ὑπὲρ τὴν φαίδραν ἠσκήκασι. τί μᾶλλον [24] ἢ κατὰ θετταλοὺς τοὺς * τῷ σπερχειῷ [25] τρέφοντας τὰς τρίχας; ἐπεὶ καὶ οὗτοι οὐ κείρονται, καὶ ἄλλοι Διονύσῳ [26] θεάτρων ἐφόρῳ θεῷ, καθάπερ ἐκεῖνοι τῷ ποταμῷ. εἰ μὲν οὖν αὐτὸ τὸ τῇ κόμῃ συγχωρεῖν προβαίνειν αἰτιᾷ, καρηκομόωντας ἀχαιοὺς ἀκούεις. εἰ δὲ τὸ προσάγειν ἐπιμέλειαν τῇ κόμῃ, λακεδαιμονίους ὁρᾷς ἐν θερμοπύλαις κτενιζομένους [27], καὶ μετὰ τὴν φροντίδα τῶν τριχῶν, τὸ κάλλιστον ἔργον ἐξειργασμένους. καίτοι, εἰ τὴν ἀνδρίαν ἐξέτεμεν ἡ τῆς κόμης πρόνοια, πῶς οὐν ἀκ-

μῆ

[19] ἡ σώφρων οὐδ' ἂν ἐν β. sic Bav. ὁ σώφρων οὐκ ἂν ἐν β. Mor. Etiam margo Bav. pro οὐδ' dat οὐκ.

[20] σαυτὸν] ſiav. αὐτὸν Morell. neque id male.

[21] ἴδῃς] ſic ♀ et Bav. ἤδῃς Morell.

[22] ὡς οὗτος] ſic Bav. ὦ οὗτος Morell.

[23] τὰς γὰρ κόμος] rurſus hic eſt locus ex Ariſtide, ſtatim refutandus.

[24] τί μᾶλλον] ſcil. ἔδει σε οὕτω λέγειν, ὑπὲρ τὴν φαίδραν — dicere vult. quid opus erat exemplum proponere tam inuidioſum, cum liceret aliud ponere minus inuidia laborans, e. c. Theſſalorum.

[25] τῷ σπερχειῷ] ſic dedi de meo, omittens ἐν, quod Bav. et Morell. praemittunt. Bav. quoque dat σπερχιῷ per iota ſimplex.

[26] διονύσῳ] ſcil. τρέφουσι τὰς κόμας, aut οὐ κείρονται. quod idem eſt.

[27] κτενιζομένους] ſic dedi de meo. in Bav. et Morell. eſt ἠτενιζ. vid. Herodot. in enarratione pugnae ad Thermopylas.

μὴ τῶν ἀγώνων ἐπεμελοῦντο τῆς κόμης; πῶς δ' ἐντεῦθεν ἐπὶ τὴν μάχην ἥκοντες ἄνδρες ἦσαν; εἰ δ' ἀκριβολογεῖταί τις περὶ τὰ μέρη τῆς κεφαλῆς, καὶ μέμφεται τὸ κομᾶν ὄπισθεν, οὐκ ἀνέξονται μὰ τοὺς θεοὺς οἱ πλεύσαντες εἰς τροίαν ἀπ' εὐβοίας, οὐδὲ τούτους μᾶλλον, ἢ σφᾶς[28] ὑβρίζεσθαι νομιοῦσι μένεα πνείοντες ἄβαντες. ἐκόμων γὰρ δὴ κατὰ τούτους[29]. οὐ τοίνυν ἀπὸ τῆς ἐσθῆτος ἔχω καταγνῶναι τοῦ β'ου τῶν ὀρχηστῶν, οὔτε τὸ χρυσίον ἐνυφάνθαι τῷ χιτωνίσκῳ βιάσαιτ' ἂν εἰς αἰσχύνην τὸν τῇ φύσει κρείττονα τούτου[30]. τοὺς γὰρ ἱερεῖς οὕτω γ' ἂν ἑωρῶμεν ἐν τοῖς πόρνοις τεταγμένους, οὓς ἐν ταῖς πανηγύρεσιν ὁ χρυσὸς κοσμεῖ κατὰ τῶν ἐσθημάτων ἐσπαρμένος. οὔτ', εἴτις τὸ μέχρι τῶν σφυρῶν καθειμένον, καί τινα[31] τοῦ λοιποῦ σχήματος εἰς τὸ γυναικεῖον ἐπικλίνειν φησὶ, δεῖγμα ἀναμφισβήτητον πορνείας ὁ τύπος τοῦ χιτωνίσκου. εἰ γὰρ τοσοῦτον ἴσχυε τῆς ἀμπεχόνης εἴδη, καὶ τὰς[32] διαβολὰς ὁ τρόπος ἐκεῖθεν ἐλάμβανεν, ἕρμαιον ἂν ἦν τοὺς ἐπ' οἰκήματος τούτους ἐνσκευάσασθαι. κατὰ τὸν ἡρακλέα, καὶ τῇ λεοντῇ καὶ τῷ ῥοπάλῳ μεταστῆσαι τὸν βίον. ἀλλ' οὐκ ἔστιν, ὥσπερ οὐδὲ τὸν οἰκέτην ἀμεῖψαι τὴν τύχην, ἢν τοῦ δεσπότου τὸν χιτωνίσκον ἐνδύοιτο, ἢ διαλαθὼν, ἢ καὶ τοῦ δεσπότου γε ἐφέντος παιδιᾶς ἕνεκεν. ἐντεῦθεν ἤδη τις ἀθλητὴς[33] μακρὰ βαίνων, καὶ διάβροχος ἐλαίῳ τῆς ἐσχάτης δυσωδίας, ἀναβεβλημένος ἱμάτιον ἐν αὐτοῖς τού-

τοις

[28] post σφᾶς nescio an αὐτοὺς sit addendum.

[29] κατὰ τούτους] scil. τοὺς ὀρχηστάς. Abantes enim comam sic alebant olim, vt nunc alunt saltatores. An sic dedit Libanius? ἐκόμων γὰρ καὶ οὗτοι. nam et hi, Abantes puta, comam alebant.

[30] τούτου] num ad τοῦ χρυσίου ἐνυφάνθαι τῷ χιτωνίσκῳ redit. cui natura est indoles omni superior luxu atque mollitie? Ego malim ταύτης, vt ad αἰσχύνην redeat.

[31] καί τινα] num ἄλλα est interponendum?

[32] ἀμπεχόνης εἴδη, καὶ τὰς δ.] sic reformaui. in Bav. et Morell. sic distinctus est h. l. ἀμπεχόνης. εἰ δὴ καὶ τὰς δ.

[33] ἐντεῦθεν ἤδη τις ἀθλητὴς] hinc, Antiochia puta, oriundus aliquis athleta.

τοις τῆς ἀνδρείας ἐσθήμασι τὰ γυναικῶν ἔδοξε ποιεῖν. καίτοι πρὸς θεῶν τί θαυμαστὸν, εἰ, ὥσπερ ἐκεῖνον οὐκ ἐπεῖχεν ὁ τρίβων ἐν τῷ σωφρονεῖν, οὕτω τοῦτον ὁ τρόπος ἐν τοιούτοις ἐσθήμασιν [34] ἐποίησε σωφρονεῖν; οὐδὲ γὰρ οἱ τοὺς περὶ μεγάβυζον ἀποκτείναντες ἐν μακεδονίᾳ μετὰ τὸ δεῖπνον, ἐκφερομένους εἰς ἀφροδίτην ἄδικον ὑπὸ τῆς μέθης. οὐδ' οἱ τὴν ἐν ταῖς θήβαις τυραννίδα καταλύσαντες ὕστερον, καὶ τὴν λακεδαιμονίων φρουρὰν ἐκβαλόντες, ἑκάτεροι γυναῖκες εἶναι δόξαντες ἀπὸ τῆς ἐσθῆτος, ἤδη καὶ γυναῖκες ἦσαν, ἀλλ', οἷοί περ τὸ πρότερον [35], ἄνδρες. οὔκουν οὐδὲν αὐτοῖς ἐπέπρακτο τοσοῦτον ἔμπροσθεν. δύο τοίνυν ταῦτα πάντες ὁμολογοῦσιν, ἄριστόν τε τῶν ἐπὶ τροίαν ἡκόντων εἶναι τὸν ἀχιλλέα, καὶ τοῦτον αὐτὸν εἰς παρθένους δόξαν αὐτὸν καταστῆσαι τοῖς σχήμασιν ἀφανίσαντα τὴν φύσιν. καίτοι προσῆκον, εἰ τὰ τοιαῦτα βλάπτειν ἴσχυε, φαυλότατον ἡγεῖσθαι τὸν ἀχιλλέα. νῦν δ' εἰς ἐκεῖνον τὸν τῶν παρθένων ἀναχόμενον, τὰ πάντα τοῖς ἕλλησιν ἀνέκειτο. καὶ οἱ πόῤῥω τῶν γυναικείων σχημάτων τοῦ ταῦτα ὑποδύντος ἐδέοντο. ὥσπερ τῆς ὀδυσσέως φρονήσεως μετὰ τὴν πεπλασμένην μανίαν. οὐδὲ γὰρ ἐκείνῳ τὴν σύνεσιν ἔβλαψεν ἃ περὶ τὸ ζεῦγος ἐπλάττετο. οὕτως οὔτε βάδισις, οὔτε προσωπεῖον, οὔτε σχῆμα στολῆς, οὔτε κουρᾶς εἶδος, οὔτ' ἄλλο τῶν ἁπάντων οὐδὲν, κυριώτερον ἄν ποτε τῆς προαιρέσεως γένοιτο. οὐκ ἐξίστατο τῆς αὑτοῦ φύσεως ὁ ζεὺς ταῖς μεταβολαῖς, αἷς ἀκούομεν, ἀλλὰ θεραπεύων τοὺς καιροὺς πάλιν αὐτὸς ἦν. καὶ περὶ τῆς ἀθηνᾶς καὶ τῶν ἄλλων θεῶν ὅσοις ἐπῆλθεν ἀλλοιωθῆναι, ταὐτὸ λέγοι τις ἂν, ὡς ἐν φαυλοτέροις εἴδεσι φαινόμενοι τὸ σφῶν αὐτῶν ἀγαθὸν διεσώζοντο. καί μοι δοκοῦσι τῆσδε τῆς ὀρχήσεως οὗτοι γενέσθαι πατέρες, ἐπὶ τὸ πάντα μιμεῖσθαι τῶν ἀνθρώπων τοὺς εὐτραπέλους ταῖς ἑαυτῶν μεταστάσεσιν ἀνάγοντες. οὐ γὰρ ἔτι αἰσχρὸν ἐδόκει τὸ πάσας δέχεσθαι μορφὰς μετὰ τοὺς θεούς. ἀλλ' ἐπὶ τοὺς

θεω-

34 τοιούτοις ἐσθήμασιν] mollibus puta et auro contextis.

35 τὸ πρότερον] sic Bav. articulo caret Morell.

θεωμένους[36] ἤδη μέτειμι, τοὺς, ὡς μὲν ἐγὼ φαίην ἄν, οὐ διεφθαρμένους, ὡς δὲ ὁ σὸς λόγος, ἀπολωλότας. οἱ δικαίως ἂν μοι δοκοῦσιν ἀπαντῆσαί σοι πρώτοις ἐκεῖνοι. ἡμεῖς, ἀριστείδη, γυναῖκας ἔχοντες, καὶ παῖδας τρέφοντες, καὶ τὰ ἡμέτερα αὐτῶν καὶ τὰ κοινὰ διοικοῦντες, ἀναπαύλης ἕνεκα πρὸς τὸ θέατρον ἰόντες, καθήμεθα σκοποῦντες, ἔτι καλοὺς ἔπεστι τοῖς δεικνυμένοις. κἂν τις ἀπὸ τῆς ὀρχήσεως τέρψις εἰς τὴν ψυχὴν εἰσῆλθεν διὰ τῶν ὀμμάτων, ἡδίους ἀπερχόμεθα γεγενημένοι, καὶ πάλιν τῶν ἐπιπόνων ἁπτόμεθα φροντίδων βουλῆς, προνοίας, λόγων, ἔργων. ἔπειτα τούτοις * πιεσθέντες[37] ἐπὶ τὴν αὐτὴν τέρψιν ἀναβαίνομεν, ἐξετάζοντες θέσιν ποδῶν, φορὰν χειρῶν, νευμάτων, ἃ διαβάλλεις, εὐαρμοστίαν, ὅλως τοῦ παντὸς εὐσχημοσύνην. εἰ δὲ ὁ ταῦτα ποιῶν χρηστὸς, ἢ πονηρὸς, ἢ χαλεπὸς, ἢ πρᾶος, ἢ κρείττων ἡδονῶν, ἢ μὴ, τούτων οὐδὲν προσενθυμούμεθα, κριταὶ καθήμενοι ψιλῆς ὀρχήσεως, ὥσπερ ὅταν πύκτας θεώμεθα, τῶν πραγμάτων[38], οὐκ ἀνερωτῶντες, εἰ, παρ' ᾧ[39] μείζους αἱ πληγαὶ, περὶ τοὺς γονεῖς οὗτος μέτριος. πῶς οὖν ὑπὸ τῆς ὀρχήσεως διεφθάρμεθα; ὅτι νεῦμα τούτοις πλέον[40] εἰς διαφθορὰν, ἢ ἑτέρων[41] μηχανήματα εἰς τὸ παραστήσασθαι πόλιν. βαβαὶ τῆς τῶν νευμάτων ἰσχύος; ὑπὲρ τὰς λακεδαιμονίων ταῦτά γε μηχανὰς, ἃς ἐπὶ τὸ πλαταιέων τεῖχος ἀπέστελλον. ποίαν δὲ καὶ διαφθο-

36 ἀλλ' ἐπὶ τοὺς θεωμένους] hic ingreditur alterum caput defensionis, quo negat, a pantomimis animos moresque spectatorum corrumpi. quae pars procedit ad p. 507, 15. ed. M.

37 πιεσθέντες] sic dedi de meo, pro πεισθέντες Morell. confirmat meam emendationem Bav. tametsi paulum corruptus h. l. in quo est ποιεσθέντες.

38 τῶν πραγμάτων] id est τῶν γιγνομένων παρὰ τῶν πυκτῶν, certaminis pugilum, et eorum, quae in illo certamine seu geruntur seu contingunt.

39 παρ' ᾧ] malim παρ' οὗ, nam alias dubium est, illene designetur, qui plagas accipit, an qui infert.

40 πλέον] scil. δύναται. post διαφθορὰν videtur νέων deesse.

41 ἑτέρων] imo vero ἑτέρῳ aut ἑτέροις, ob praemissum τούτοις.

φθορὰν λέγεις; πότερ' ἐφ' ἑαυτοὺς κινοῦσι τοὺς θεωμένους; ἢ πειρῶσι τοὺς θεωμένους [42]; εἰ γὰρ δὴ ταῦτα ὑφορᾷ, χρῆν δήπου μήτ' ὀρχεῖσθαι νέους κελεύειν, τοῦ μὴ κινεῖσθαι τοὺς θεατὰς ὑπὸ τῆς νεότητος, μήτ' ἄγειν ἐπὶ τὴν τῶν ἀνδρῶν ὄρχησιν θεατὰς νέους, ὑπὲρ τοῦ διαφεύγειν τὰς τῶν ὀρχηστῶν ἐπιχειρήσεις τοὺς νέους. ἀνδρῶν γὰρ ὄντων ἑκατέρων, ὅσοι τε [43] ἴασιν ὀψόμενοι, καὶ παρ' ὧν τὰ θεάματα, κίνδυνος οὐδεὶς ἐν ἐξήβοις. νῦν δὲ ἐχθροῦ μᾶλλον ἐχρήσω ῥήμασιν, ἢ προνοουμένου [44]. ὡς τοίνυν οὐδ' εἰ πάνυ * κλῶνται καὶ κάμπτονται [45], τοῦτο τῶν θεωμένων διαφθορά, ῥᾷστον ἁπάντων ἰδεῖν. τίς γὰρ οὐκ οἶδεν, ὡς ἡμέρας ὅλας ἀναλίσκομεν ἐν θεάτροις, πλήθει [46] καὶ ποικιλίᾳ θεαμάτων; οὐ πύκτας ἔστιν ἰδεῖν, ἑτέρους μονομαχοῦντας, ἢ θηρίοις ὁμόσε χωροῦντας, ἄλλους κυβιστῶντας. ἆρ' οὖν εὐθὺς ἐκ τῆς θέας εἰς τὸ παραπλήσιοι γενέσθαι τοῖς ὁρωμένοις ἐρχόμεθα; καὶ διὰ μὲν τοὺς πύκτας θρασυνόμεθα, διὰ δὲ τοὺς ἐν ὅπλοις ἐρῶμεν φόνων; οἱ κυνηγέται δὲ ἡμᾶς ἤγειραν λέοντα δέχεσθαι; κουφότεροι δὲ πηδᾶν ὑπὸ τῶν κυβιστώντων γεγόναμεν; καὶ τίς τῶ πλησίον ἐνεῖδέ τι τούτων; ἢ αὐτὸς αὐτῷ; καὶ μὴν, εἰ μὲν, οἷς ὁρῶμεν, ὁμοιούμεθα, πῶς οὐχὶ καὶ παρ' ἐκείνων τοῦτο δεδέγμεθα; εἰ δ' οὐδὲν ἐκεῖθεν εἰς τοὺς θεατὰς ἐρρύηκεν, οὐδὲ παρὰ τῶν ὀρχουμένων εἰκός. ἢ τὰ μὲν τού-

των

42 ἢ πειρῶσι τοὺς θεωμένους] videntur haec amputanda esse, siue sunt scholium, siue varians lectio praecedentium ἐφ' ἑαυτοὺς τοὺς θεωμένους. scil. histriones, vel pantomimi. Sic dedi de meo, adiutus in quo est solummodo κάμπτονται. In altero enim cum vulgata κλῶνται καὶ κάμπτονται consentit.

43 τε] sic dedi ex ♀ et Bav. δὲ Morell.

44 προνοουμένου] prouidi et de salute nostra solliciti. Sic dedi ex ♀ et Bav. πορνουμένου Morell. quae lectio etiam in margine Bav. est annotata.

45 κλῶνται καὶ κάμπτονται]

46 πλήθει] potest integra esse oratio, et πλήθει et ποικιλίᾳ idem atque ὑπὸ πλήθους καὶ ποικιλίας. videtur tamen deesse aliquod participium, θελγόμενοι vel simile.

των κρατεῖ τῶν ψυχῶν, τὰ δ' ἐκείνων οὐ ταὐτὸν ποιεῖ; πῶς ἂν οὐ διαλέγῃ τοῖς Ἕλλησι, μὴ εἶναι πυγμὴν, μὴ εἶναι παγκράτιον, καθαρεύειν τοὺς γυμνικοὺς ἀγῶνας ἀθλητῶν, οἳ τοὺς θεωμένους ποιοῦσιν ἀγριωτέρους. ὅτι [47] τὸν * ἐντυχόντα παίειν [48], φύσεως ἀγριωτέρας, οὐ λύμη τρόπων ἐκ τῶν ἀγώνων γεγενημένη. ταὐτὸ δὲ καὶ περὶ τῶν ἐκλελυμένων δοκεῖ, τὸ περὶ τὴν φύσιν * αὐτοὺς [49] οὐκ εὐτυχεῖν, οὐκ ἐκ τῆς θέας τῶν ὀρχηστῶν εἰς τὴν φύσιν βεβλάφθαι. βλαβερὰ, φησὶ, τὰ νεύματα. δηλαδὴ τὰ τοῖς τῶν γυναικῶν ἐοικότα. δεῖ γὰρ αὐτοὺς, εἰ μέλλουσιν εὐδοκιμεῖν, μιμεῖσθαι. τὸ δὲ μιμεῖσθαι καλῶς τοῦτό ἐστι δήπου τῆς ἀληθείας ὅτι ἐγγυτάτω γενέσθαι. οὐκοῦν ἃ παρὰ τούτοις ἐστὶν ἰδεῖν ἐν ἡμέρας σμικρῷ μέρει κατὰ μίμησιν, ταῦθ' ἡμῖν συνεχῶς ἐπὶ τῆς ἀληθείας διὰ παντὸς ὁρᾶται τοῦ χρόνου. πᾶσα γοῦν οἰκία γυναικῶν πλήρης. εἰ δὲ γυναικῶν, καὶ νευμάτων. τοῖς γὰρ ἔργοις, οἶμαι, καὶ τὸ νεύειν ἀναμέμικται. καὶ γὰρ προστάττουσα, καὶ δεομένη, καὶ ὑπισχνουμένη, καὶ φοβουμένη, καὶ λοιδοροῦσα, καὶ διὰ πάντων ἰοῦσα, νῦν μὲν [50] μετὰ νευμάτων φθέγγεται, νῦν δὲ καὶ χωρὶς λόγων νεύσει. τοῖς δὲ ἀνδράσιν οὐκ ἔστι μὴ ταῦτα ὁρᾶν, οἷς ἀνάγκη συνεῖναι. ἀλλ' ὅσοι [51] ὀφθαλμοὶ, πάντως καὶ θέα γυναικείων νευμάτων. ἆρ' οὖν ἅπαντες διεφθάρμεθα. τοῖς τῶν γυναικῶν νεύμασι, καὶ κέρδος ἂν ἦν ἀπεζεῦχθαι μητρὸς, ἀδελφῆς, θυγατρὸς, θεραπαινῶν, καὶ συγκλείειν τὰς ὄψεις, εἴ που φανεῖεν, εἰ γὰρ, ὃ πολλῷ λείπεται τῆς ἀληθείας

[47] ὅτι] reſponſio Ariſtidis ad praemiſſam interrogationem.

[48] τὸν ἐντυχόντα παίειν] obvium quemque, in via fortuito oblatum, pulſitare. Sic dedi de meo. in Morell. eſt τὸν ἐκ ἐντυχόντα παίειν. in Bav. τὸν ἐκ εὐτυχοῦντα π.

[49] αὐτοὺς] ſic dedi de meo, in B. et M. eſt αὐτῆ. Etiam pro δοκεῖ, τὸ malim legi δοκείτω vno vocabulo, in imperatiuo. velim ſtatui.

[50] μὲν addidi ex ♀ et Bav. quo caret Morell.

[51] ὅσοι] malim ὅσοις. nam alias conſtructio ſibi non conſtat; alia res foret, ſi ſcriptum eſſet τοσούτοις πάντως.

θείας, ἡ μίμησις, ἱκανὸν διαφθεῖραι, πῶς εἰς αὐτήν γε τὴν ἀλήθειαν βλέβοντας ἔνι σωθῆναι, ὥσπερ γὰρ εἰς παίδευσιν πολεμικῶν ἰσχυρότερον αὐτὰς ὁρᾷν τὰς μάχας, ἢ ταῖς εἰκόσιν ὁμιλεῖν, αἳ τῶν πεπραγμένων ἔχουσιν εἴδωλα. οὕτως εἰ τὸ γυναικεῖον βλέμμα [52] βλαβερὸν, βλαβερώτερον τὸ παρὰ τῆς χρείας κινούμενον τοῦ πρὸς παιδιὰν πραττομένου. σὺ δ᾽ ἐκεῖνα μὲν οὐ φοβῇ, τούτοις δὲ ὡς ζημιοῦσι πολεμεῖς. καὶ μή με οἴου λέγειν, ὡς οὐκ ἤδη τις γυναιξὶ προσέχων τὸν νοῦν ἀνεφάνη γυναικίας. ὃς καὶ παρὰ τῶν ὀρχηστῶν ἴσως ἂν εἰσεδέξατο βλάβην. ἀλλ᾽ οὔτε γυναῖκας ἐξαλείψομεν, εἴ τις, ὢν κακὸς, τοῖς ἐκείνων προσεχώρησε τρόποις, κατά τε τῶν ὀρχηστῶν οὐ ποιησόμεθα σύμβολον [53] τό τινα τῶν θεατῶν φανῆναι χείρω. ἀλλὰ μὴν ἔν γε τοῖς ἄρτι ῥηθεῖσιν ἐνεδείκνυτο λογισμοῖς, ὡς ἔστιν ἐν ὀρχησταῖς σωφρονεῖν. εἰ δὲ τοὺς μιμουμένους αὐτοὺς οὐ πάντως διαφθείρει τὸ μιμεῖσθαι, πῶς ἀνάγκη πᾶσα τὸν θεατὴν διαφθείρεσθαι; θαυμάζω δὲ ἀριστείδην, εἰ δι᾽ ὧν μὲν ᾤετο νευμάτων κακιεῖν τὴν ὄρχησιν, ὡς βλαβερὸν, ὀξέως εἶδεν, ἃ δὲ τούτοις ἦν ἐναντίως ἔχοντα, ταῦτα ἰδεῖν οὐκ ἐβουλήθη. καὶ ταῦτα, ἐπὶ τῆς αὐτῆς ἡμέρας, μᾶλλον δὲ ἐν ὥρας ἐλαχίστῳ μέρει καὶ τούτων κἀκείνων γιγνομένων. τί δ᾽ ἔστιν ὃ φημί; εἰ μὲν, ὅσα γυναικείου σχήματος, ταῦτα ἡ ὄρχησις ἀπολαβοῦσα, καὶ τὰ τοῖς ἀνδράσι προσήκοντα φυγοῦσα, καθάπαξ ἐπὶ τούτων ἐποιεῖτο τὴν διατριβὴν, καὶ τοῦτο ἦν ἡ τέχνη, γυναικῶν μίμησις, οὐδ᾽ οὕτω μὲν ἂν διέφθειρε γενναίαν φύσιν. ἴσως δ᾽ ἂν ἐπετιμᾶτο εἰκότως τὸ μὴ τὴν μίμησιν ἑκατέραν ἐν τῇ τέχνῃ συλλαβεῖν, ἐν ᾧ καὶ τὸ τῆς ψυχαγωγίας πλέον, καὶ τὸ μὴ δοκεῖν ἀτιμάζεσθαι τὸ τῶν ἀνδρῶν γένος ἦν. εἰ δὲ δείκνυσι νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα, καὶ πυκνὴ μετάστασις [54] ἐφ᾽ ἑκάτερον καὶ πρὶν δεῖξαι.

[52] βλέμμα] νεῦμα Bav. qui tamen vulgatam in margine dat.

[53] ποιησόμεθα σύμβολον] videtur κακίας interponendum.

[54] πυκνὴ μετάστασις] interponendus videtur articulus ἡ.

ξαι τὴν γυναῖκα καθαρῶς, ἀπεπήδησεν εἰς ἄνδρα, τί τέμνων δίχα τὴν ὄρχησιν, καὶ τὰ μὲν παραλείπων, τὰ δὲ προφέρων [55], διορύττεις τὸ πρᾶγμα; εἶδε δηϊάνειραν τὸ θέατρον; ἀλλὰ καὶ τὸν οἰνέα, καὶ τὸν ἀχελῶον, καὶ τὸν ἡρακλέα, καὶ νέσσον. εἶδε τὴν δάφνην φεύγουσαν; ἀλλὰ καὶ τὸν ἀπόλλω διώκοντα. εἶδε τὴν ἀταλάντην; οὐκ ἄνευ γε τοῦ μελεάγρου. Φαίδραν ὀρχηστὴς ἐποίησεν ἐρῶσαν; ἀλλὰ καὶ τὸν ἱππόλυτον προσέθηκεν, ἐγκρατῆ νεανίσκον. βρισηῒς ἀπάγεται τῆς ἀχιλλέως σκηνῆς; ἀλλ' ὑπὸ τῶν κηρύκων. εἶδες τὸ γύναιον; εἶδες καὶ τοὺς ἄνδρας. ἅρμα εἶδες ἐπὶ θαλάττης, ποσειδῶνος δῶρον κομίζον, ἆθλον ἱππικῆς ἀγωνίας; ἐν τῷ αὐτῷ δίφρῳ καὶ τὸν πέλοπα κατόψει. πολλάς σοι παρθένους ἔδειξε, τὰς λυκομήδους, καὶ παρθένων ἔργα, καὶ ὄργανα, τὴν ἠλακάτην, τὸν ἄτρακτον, τὸ ἔριον, τὸν στήμονα, τὴν κρόκην; καὶ δὴ καὶ τὸν ἀχιλλέα μεμίμηται παρθένον ὑποκρινόμενον. μὴ δείσῃς. οὐκ ἐνταῦθα στήσει τὴν ὄρχησιν, ἀλλ' ὀδυσσεὺς ἐπὶ θύρας, καὶ διομήδης μετὰ τῆς σάλπιγγος, καὶ τὸν ὄντα ἀντὶ τοῦ δοκοῦντος ὁ πηλέως ἐκφαίνει [56]. κἂν τὸν ἐν τροίῃ δέῃ δεῖξαι, κτείνοντα ὄψει τὸν ἥρω καὶ τὴν μελίαν σείοντα, καὶ φοβοῦντα καὶ ταράττοντα, καὶ τὸν ἕκτορα σφάττοντα, καὶ τὸν νεκρὸν ἕλκοντα, καὶ πηδῶντα τῶν πεντάθλων μακρότερα. τοῦτο δὴ τὸ παρά σοι κακιζόμενον. ὃ καὶ θαυμάσαι τις ἄν, εἰ ἃ μὲν πένταθλοι ποιοῦσιν, οὐκ ἐκβάλλεις τῆς ὀλυμπίας, ἃ δὲ τὰ κείνων ὑπερβαίνει, τούτων ἀξιοῖς κατηγορεῖν. καὶ ἡ μὲν παροιμία φησὶν, ὑπὲρ τὸ σκάμμα, θαυμάζουσα τοὺς τῷ πηδήματι παριόντας τὸ μέτρον. σὺ δὲ αὐτὸ τὸ νικᾶν ἐν τῷ πηδᾶν τοὺς πεντάθλους, εἰς αἰτίαν * τίθης [57]. καίτοι τί ποτ' ἂν τοῦδε μεῖζον ἐζήτησας, ἐπαινεῖν ὡρμημένος; τοσοῦτόν ἐστι τὸ τῆς ἀληθείας. νικᾷ πολλάκις συκοφαν-

κοφαν-

[55] προφέρων dedi ex ♀ et Bav. προσφ. Morell.

[56] ἐκφαίνει] accommodandum hoc si est praemisso στήσει, leg. erit ἐκφανεῖ profert, edet, declarabit.

[57] τίθης dedi de meo. τιθεὶς dat Morell. τιθεῖς Bauar.

κοφαντίαν, καὶ τὸν κατήγορον ἄκοντα τοῦ φεύγοντος ἐπαινέτην ποιεῖ. ἀλλ' ἐκεῖσε ἐπάνειμι. ὅτι δὲ ἑκατέρου τοῦ γένους ἡ μίμησις ἔρχεται, καὶ ἀνθρώπους ὑποδύονται [58] καὶ θεούς. ὁ γὰρ τὴν ἥραν καὶ τὴν ἀφροδίτην δεικνύων, καὶ τὴν κόρην, οὗτος καὶ τὸν δία καὶ τὸν ἄρην καὶ τὸν πλούτωνα δείξει. καὶ εἰ φήσει τις, ὅτι τὰ γάμων μιμεῖται καὶ κῶμον καὶ χορείαν, ἀντακουέτω τὴν τῶν [59] λαπιθῶν πρὸς κενταύρους μάχην, καὶ τὸν κρατοῦντα τῶν κακούργων θησέα, καὶ τοῦ ταύρου καὶ τοῦ μινωταύρου. καὶ τὸν μέχρι τῶν χρυσῶν μήλων ἐκτείναντα τοὺς πόνους ἡρακλέα. πότερ' οὖν ὅτι μιμοῦνται γυναῖκας, διαφθείρουσι μᾶλλον, ἢ διότι τοὺς ἄνδρας, ὠφελοῦσι τοὺς θεωμένους. εἰ γὰρ, ὅταν μὲν ἐκεῖνα ποιῶσι, τήκουσι τὰς ψυχὰς, ὅταν δὲ ταῦτα δεικνύωσιν, ἐγείρουσι τὰς ψυχὰς, οὐκοῦν λυμαίνονται μᾶλλον, ἢ βελτίους ἀπεργάζονται. καὶ οὔπω λέγω τοῦθ', ὅτι τὸ μὲν οἰκεῖον δεινὸν παρακαλέσαι πρὸς ζῆλον, τὸ δ' ἀλλότριον ἀσθενές. ὥστ' ἀναγκαίως ἔχειν, τοῖς μὲν ἀνδρείοις σχήμασιν ἕπεσθαι τοὺς ἄνδρας, τοῖς δὲ γυναικείοις οὐκ ἐνδιδόναι. ἀλλ' ἀφίημι, καὶ κείσθω τὴν ἴσην ἐφ' ἑκατέρου, τοῦ μὲν βλάβην [60] εἶναι, τοῦ δὲ σωτηρίαν. οὐκοῦν εἰ μὲν ταῦτα ὅλως [61] ἐδείκνυσαν, ἢ παντελῶς ἂν ἐζημίουν τοῖς γυναικείοις, ἢ παντελῶς ἂν ὠφέλουν τοῖς ἀνδρείοις. ἐπεὶ δὲ ἀναμίξαντες ὀρχοῦνται τὰ μὲν ὠφελεῖν ἐπιτήδεια φῶμεν ὑπὸ τῶν βλάπτειν κεκωλῦσθαι. τὰ δὲ βλάπτειν ἱκανὰ ταὐτὰ [62] πάσχειν ὑπὸ τῶν ἀμεινόνων. ὥστε τὰ μὲν, ἀνωφελῆ καθίστασθαι

διὰ

[58] ὑποδύονται] malim ὑποδυομένη.

[59] aut τῶν est delendum, aut τὰς praeponendum v. κενταύρους.

[60] pro βλάβην fuit in aliis codicibus λώβην. quod satis intelligitur e lectione marginis, quae est λαβεῖν. sed auctor λώβην dederat.

[61] ὅλως] solide et sincere, sine mixtura quapiam, ex alio genere instituta, virilia seorsim, absque muliebribus, et contra.

[62] ταὐτὰ dedi ex ♀ et B. pro ταῦτα Mor.

διὰ τῶν βλαβερῶν. τὰ δὲ, ἀβλαβῆ διὰ τῶν χρηστῶν [63]. μήτ' ἂν σὺ κατηγόρει τῆς ὀρχήσεως, ὡς ζημιούσης. ἐγὼ τ' αὐτὴν οὐ φήσω πρὸς ἀρετὴν ἄγειν, ἀλλ' εἶναι τὸ ἔργον αὐτῆς, ὅσον εὐφρᾶναι τὸν θεώμενον. ἡ δ' ἀζήμιος ἡδονὴ τοῖς εὐφρονοῦσι περισπούδαστον, καὶ οὐ τῶν ψέγεσθαι μᾶλλον, ἢ τῶν ἐπαινεῖσθαι δικαίων εὑρίσκεται. ἐγὼ μὲν οὖν τοῖς περὶ [64] ὀρχήσεως λόγοις καὶ τοῖς ποιηταῖς συναγωνίζομαι. τοῖς δὲ κατὰ τῆς ὀρχήσεως ἀριστείδης καὶ ποιητὰς ἐλαύνων ἠλέγχετο, τὸν ὅμηρον, τὸν αἰσχύλον, τὸν εὐριπίδην, τὸν σοφοκλέα, τὸν μένανδρον, πολλοὺς ἑτέρους. πῶς; ὅτι πάντες οὗτοι μιμοῦνται γυναῖκας, καὶ τότε μάλιστα ἐπαινοῦνται, ὅταν μάλιστα μιμῶνται. καὶ τὸ πρόσφορον ἑκάστῃ σωθῇ, καὶ τοσοῦτόν γε μᾶλλον μιμοῦνται τῶν ὀρχηστῶν [65], ὅσῳ λόγος συγκείμενος μείζων κινήσεως ἀφώνου. καὶ ὁ μὲν εἰς τὴν γνώμην αὐτὴν ἐμβαίνει τε καὶ ἵσταται [66]. τοῖς δὲ ὀρχουμένοις ἀρκεῖ μὴ τῶν σχημάτων ἀπολειφθῆναι. λέγε δὴ παρελθών. διεφθείροντο μὲν ὑπὸ τραγῳδίας οἱ πάλαι, διεφθείροντο δὲ ὑπὸ κωμῳδίας; ὅμηρος δὲ ἀπώλλυ τὴν ἑλλάδα, καὶ πρὸ τῆς ἑλλάδος αὐτόν; βρισηΐδα θρηνοῦσαν μιμούμενος, καὶ πηνελόπην, καὶ ἀφροδίτην τετρωμένην. λέγε δεῖν καὶ νῦν κεκλεῖσθαι μὲν ποιηταῖς διδασκαλεῖα, κεκλεῖσθαι δὲ τοῖς ὑποκριταῖς τὸ θέατρον. ἵνα μὴ τραγῳδὸς εἰσελθὼν πασιφάην μιμήσεται τὴν ἐξοκείλασαν εἰς ἀλλόκοτον ἔρωτα. μηδ' αὖ κωμῳδὸς τὰς παρὰ μενάνδρῳ τικτούσας, καὶ πολλὰ ἕτερα. τί γὰρ δήποτε τούτοις μὲν δίδως εἰσελθεῖν, οἳ διχόθεν μιμοῦνται τὰς γυναῖκας, τῷ τε λόγῳ καὶ τοῖς

σχήμα-

[63] χρηστῶν] ſic dedi ex ♀ et Bauarici margine, pro ὀρχηστῶν Morell.

[64] περὶ] imo vero ὑπὲρ, non *de ſaltatione*, ſed *pro* ſalt. eius defendendae ergo. τοῖς λόγοις idem eſt atque ἐν τοῖς λόγοις, vel διὰ τῶν λόγων.

[65] τῶν ὀρχηστῶν] ita Bav. et margo Morell. cuius textum dat τοὺς ὀρχηστάς.

[66] ἵσταται] inſiſtit, inhaeret iis. opponitur tumultuariae, feſtinatae et obiter factae per geſtus repraeſentationi.

σχήμασιν. ἢ τοῦτό γε οὐκ οἶδα ὡς ὅσον [67] ἂν μὴ συνενέγκῃ τὰ σχήματα τοῖς λόγοις, ἀπώλεσε τὴν εὐφωνίαν, ὑπὸ τῆς ἡσυχίας, ἣν καιρὸς ᾖ κινεῖσθαι. διόπερ πολλοὶ τῇ φωνῇ κρατοῦντες, οὐ μετέχοντες τοῦ κινεῖσθαι καλῶς, ἧττον εὔφραναν. πολλοὶ δὲ κατὰ φωνὴν λειπόμενοι τῇ περὶ τὸ σχηματίζεσθαι πλεονεξίᾳ πρὸ τῶν κρειττόνων [68] ἐτέθησαν. εἶθ᾽ ὁ μὲν τὴν πλαγγόνα εἰσιὼν καὶ τῷ προσώπῳ καὶ τοῖς ἐσθήμασι, καὶ πᾶσιν ἁπλῶς, οἷς ἔνεστι, τὴν γυναῖκα μιμούμενος, οὐκ ἐμβάλλει τὸ θέατρον εἰς αἰσχρὰς ἡδονάς. ἐὰν δὲ ὀρχηστὴς μετενέγκῃ τὴν χεῖρα, μεστοὶ γυναικίσεως οἱ παρόντες κατέβησαν, καὶ πρὸ τούτων ἐκεῖνος κατῆλθε τοιοῦτος. καὶ μὴν ὑπέρ γε τραγῳδίας καὶ κωμῳδίας πλάτωνι μαχόμενος [69] καὶ τὰς ὀρχήσεις αὐτῶν ὡς ἀναγκαίας ἐπαινεῖς. ἐν δὲ ταύταις ἔνι δήπου καὶ τὸ κορδακίζειν εἶναι [70]. εἶτα οὐ δεινὸν, κόρδακι μὲν εἶναι τόπον ἐν θεάτρῳ, καὶ μὴ ἔχειν αἰτίαν ὡς διαφθείρει τοὺς παρόντας. περὶ δὲ ὀρχήσεως, ἐν ᾗ πλείστη σπουδὴ μὴ παραγυμνοῦσθαι μηδαμῇ, δοξάζειν τε αὐτὸν τὰ χείρω, καὶ τοὺς ἄλλους εἰς τὴν ὁμοίαν δόξαν ἄγειν. ἀλλ᾽ οὐχ ἡμεῖς γε τῶν σῶν λόγων μᾶλλον, ἢ τῶν πραγμάτων ἐσόμεθα. τί οὖν λέγει [71] τὰ πράγματα; μᾶλλον δὲ ἀπόκριναί μοι ἆρά γε τὸ πόλεων ἄρχειν, καὶ θεραπεύειν ἔθνος, καὶ πολλοῖς ὁμοῦ πορίζειν εὐδαιμονίαν, ψυχῆς ἐστι κακῶς ἠγμένης, καὶ διεφθαρμένης, καὶ μεστῆς ἡδονῶν, καὶ βεβαρημένης ὑπὸ τῶν τῆς ψυχῆς νοσημάτων,

[67] ὅσον] malim ὅσων. quod ſi probatur, tum ἀπώλεσε quoque cum ἀπώλεσαν erit mutandum. quorum geſtus non concinunt orationi, illi corruperunt vel perdiderunt ſuam vocalitatem.

[68] τῶν κρεττόνων] videtur *ἐκείνῃ illa parte*, vel *laude*, vel *illo modo*, interponendum, ſcil. κατὰ τὴν φωνήν.

[69] πλάτωνι μαχόμενος] deſignat Ariſtidis diſputationes adverſus Platonem.

[70] aut prorſus delendum eſt εἶναι, aut ſic leg. κορδακίζειν. ναί. εἶτα — *Ineſt vtique. Atqui tamen graue non erit —?*

[71] λεγει] ſic ♀ et Bav. λέγεις Morell. quid igitur ait rerum veritas?

των, ἢ τοὐναντίον πεπαιδευμένης, σώφρονος, ἐκκεκαθαρμένης, κούφης, ὀξὺ βλεπούσης, κρείττονος ἡδονῶν, τὸ δίκαιον ζητούσης τε ἀνδρείως καὶ ποιούσης ἰσχυρότερον ἀδικίας; ἐγὼ μὲν οὐδὲν ἡγοῦμαι μεῖζον ἀρχῆς εἰς γνώμης βάσανον. οἶμαι δὲ καὶ τῇ παροιμίᾳ ταὐτὰ δοκεῖν, ἥ φησιν, ἐν ἀρχῇ τὸν ἄνδρα δείκνυσθαι. τούτων τοίνυν, ἀριστείδη, τῶν πρὸς ὄρχησιν οὐκ ἀηδῶς ἐσχηκότων, εἰς ἀρχάς * τινες [72] κατασταθέντες, πῶς ἄν, εἴπερ ἦσαν διεφθαρμένοι μετεχείρισαν τὰς πόλεις; βούλει σοι διέλθω; κατεφρόνησαν μὲν ἂν θεῶν, ἐξήλασαν δ' ἂν τὴν δίκην, παρέβησαν δὲ τοὺς νόμους [73], ἀπέδοντο δ' ἂν τὴν ψῆφον, διεξῆλθον δ' ἂν τὸν χρόνον μετὰ μὲν τῶν ἀνομωτάτων ταττόμενοι, τοῖς βελτίστοις δὲ πολεμοῦντες, χρήματα τὰ μὲν κλέπτοντες, τὰ δὲ ἁρπάζοντες, τῇ γαστρὶ χαριζόμενοι, μέθῃ προσκείμενοι, παῖδας ἐν ἴσῳ καὶ γυναῖκας ὑβρίζοντες. ἀλλ' ὁρᾷς τούτων μὲν οὐδέν. ἃ δ' ἂν συνεύξαιτό τις καὶ παισὶ καὶ φίλοις, σωτῆρες πόλεως οὐκ ὀλίγοι τούτων ἐγένοντό τε καὶ ἀνεκηρύχθησαν [74], κάλλιω στέφανον τὸν ἔπαινον τοῦ ἐκ πίστης ἀνῃρημένοι [75], φόβῳ καὶ πειθοῖ καὶ κολάσει πρὸς τὸ δέον ἑκάστῳ χρησάμενοι. τῇ [76] μὲν τὸ ἀνίατον ἐκκόπτοντες, τῇ δὲ τὸ δυνάμενον εἴκειν ἄγοντες. τῷ δὲ τὸ * μέλλον [77] ἀσελγαίνειν κατέχοντες. οὔτε τὸ σωφρονοῦν [78] ἐν πενίᾳ περιορῶντες, πλούτοις τε ἀδίκοις ἐμφράττοντες τὰς ὁδούς. οἶνον διωθούμενοι, τρυφὴν φεύγοντες, ὕπνων ῥώμην ἐλέγχοντες, τῇ ψήφῳ συμμαχοῦντες τῇ δίκῃ, πόλεων μεγέθη μὲν φυλάξαν-

[72] *τίνες*] ſic dedi de meo. in B. et M. eſt *τινας*.

[73] *παρέβησαν δὲ τοὺς νόμους*] num hoc quoque reliquis eſt accommodandum et leg. *π. δ' ἂν τοὺς ν.*

[74] *ἀνεκηρύχθησαν*] ſimplex *ἐκηρ.* dat Bav. textum; margo tamen vulgatam quoque exhibet.

[75] *ἀνῃρημένοι*] *ἀράμενοι* Bav. ſed cum *γρ.* vulgatam dat idem in margine, *τῇ* prius redit ad *κολάσει*, poſterius ad *πειθοῖ*, *τῷ* autem ad *φόβῳ*.

[77] *μέλλον*] dedi de meo. In B. et M. eſt *μᾶλλον*.

[78] *σωφρονοῦν*] ſic Bav. *σωφρονοῦν* Mor.

λάξαντες, μικρότητα δὲ μεταθέντες. ὁμοίαις χερσὶν ἁψάμενοί τε τῆς ἀρχῆς καὶ ἀπελθόντες. τούτους οὐχ ὑπὸ τῶν ὀρχηστῶν ἀγαθοὺς γεγενῆσθαι λέγω. φημὶ δέ γε μηδὲ κεκωλύσθαι παρὰ τῶν ὀρχηστῶν ἀγαθοὺς γενέσθαι. καὶ ἐπιῤῥεῖ δὴ ῥητόρων ὄχλος καὶ τῶν ἑκασταχοῦ πολιτευομένων, ὧν οὔτε ὀρχηστῶν, ὡς εἰπεῖν [79] ἀθέατος οὐδείς, οὔτ᾽ αὖ σιγῇ δέξεται τὴν παρὰ σοῦ ψῆφον [80], ὡς ἄρα διέφθαρται, τὴν παρὰ τῶν πραγμάτων αὐτῶν ἔχων μαρτυρίαν ὡς ὑγιαίνοι. πρὸς διὸς, αὐτὸς δὲ σὺ τοὺς σαυτοῦ [81] λόγους ἡδέως ἂν δεικνύοις ἀνθρώποις διεφθαρμένοις, καὶ παρὰ τοῖς οὕτως ἔχουσι θαυμάζοιο; καὶ διατρίβοις ἐν πόλεσι τὰ τοιαῦτα νοσούσαις; ἀλλ᾽ ἐῶ τὴν διατριβήν. πολλαὶ γὰρ ἀνάγκαι, δι᾽ ἃς ἄν τις οἷ μὴ βούλοιτο διατρίβοι. ἀλλὰ τὸν παρὰ τῶν διεφθαρμένων θηρεύειν ἔπαινον οὐκ αἰσχρόν; σὺ τοίνυν ὁ τοῖς λακεδαιμονίοις φάσκων παραινεῖν μόνοις [82], διὰ τὸ τοὺς ἄλλους εἰδέναι δυχεραίνοντας τὸν λόγον, ποῦ τοὺς πολλοὺς καὶ καλοὺς ἐδημιούργεις λόγους; ἐν ποίαις ἀνεγίνωσκες τῶν πόλεων; τοῖς τίνων ἐμετεωρίζου κρότοις; οἶμαι μὲν οὐ σπάρτην ἐργαστήριον ἐποιήσω τῆς τέχνης, οὐδὲ παρὰ τὸν εὐρώταν ῥεῖν ἀφῆκας τοὺς λόγους, ἀλλὰ τὸν ἑλλήσποντον ἐπῄεις, τὴν ἰωνίαν, πέργαμον, σμύρναν, ἔφεσον, καὶ τὴν πρώτην τεκοῦσαν τὸ κακὸν [83], ὡς αὐτὸς λέγεις, αἴγυπτον. ἐπέβης δὲ καὶ ῥώμης, ἐν ᾗ τὸ τῆς ὀρχήσεως ἔντιμον. οὐκοῦν ἐν μὲν τῇ τούτων κατηγορίᾳ φὴς διεφθάρθαι τὰς πόλεις. ἐν οἷς δὲ ἔπραττες, σωφρονεῖν ὡμολόγεις τὰς πόλεις. ἑλοῦ δὴ δυοῖν θάτερον, ἢ τῶν διεφθαρμένων δοκεῖν ἐπιθυμεῖν, ἢ τούτοις οὐ καλῶς ἐγκαλεῖν, οὓς, οὐκ

οἰδ᾽

[79] ὡς εἰπεῖν cohaeret cum οὐδείς. *nullus, vt ita dicam*, nemo paene, ausim contendere neminem facile esse, qui non spectarit.

[80] ψῆφον] γρ. μέμψιν margo Morell. idem quoque in Bav. est.

[81] σαυτοῦ] sic margo Morell. cum γρ. αὐτοὺς textum Mor. et Bav.

[82] μόνοις] μόνον Bav. sed cum οις superscripto.

[83] τὸ κακὸν] sic Bav. τῶν κακῶν Morell.

οἶδ᾽ ὅ, τι προπαθὼν, οὕτω μισεῖς, ὥσθ᾽, ἵνα τὸ τούτων εἴποις κακῶς, πορνείας διώκεις τὴν οἰκουμένην. εἴ γε οἱ μὲν οὕτω πόῤῥω κακίας ἤλασαν, ὡς μηδ᾽ ἂν ὑπομεῖναι τὸν περὶ τοῦ παύσασθαι [84] λόγον, λακεδαιμόνιοι δὲ πολὺν ἤδη χρόνον τὴν διαφθορὰν δεξάμενοι καὶ ἀγαπῶντες, οὕτω ποιοῦσιν ἀλλότρια τῶν νόμων, ὡς μηδ᾽ ἂν ἐνεγκεῖν τὸ τοῦ λυκούργου πρόσωπον παρόντος ἐξαίφνης. ἔπειτα οὐ συνίης δια σαυτοῦ τὸ ξίφος ἐπὶ τοὺς ἄλλους ὠθῶν; τὸν μὲν γὰρ ἄπειρον τῆς τῶν ὀρχηστῶν θέας οὐκ ἦν οὕτω δήπου περὶ τοῦ πράγματος διελθεῖν. τὸν δὲ καθόσον μεταχόντα τῆς θέας εὐθὺς μετειληφέναι τῆς λύμης λέγεις [85]. ὥσθ᾽ ὁ καλὸς ἡμῖν ἀριστείδης οὐ διαφεύγει τοῦ [86] μὴ τῶν διεφθαρμένων εἷς γεγονέναι. ἀλλ᾽ εἶδε μὲν, οὐ διεφθάρη δέ. καλῶς. καὶ πειθομένῳ γε λέγεις [87]. οὕτω συγχωρείτω δὴ καὶ τοὺς ἄλλους ἀγαθοὺς ἐν τῇ θέᾳ μεμενηκέναι, καὶ νομιζέτω καὶ παρ᾽ ἑτέροις εἶναι τῆς τοῦ καλοῦ μερίδος πρόνειάν τινα καὶ λόγον. φθόροι, φησὶν, οὗτοι καὶ λύμη πόλεων. πρὶν δὲ γενέσθαι τὴν ὄρχησιν, τὸν τῶν ἱερέων, εἰπέ μοι, καὶ τῶν προφητῶν βίον ἐβίουν ἅπαντες; καὶ [88] ὑπὸ τούτων ἐγένοντο θηλυδρίαι κλεισθένης, φιλόξενος, ἀμυνίας, ἀριστόδημος, βάθυλλος, διόγνητος, δῆμος, κλεινίας, ἀγάθων, κύνιππος, προπονίδης, ἁρμόδιος, κτήσιππος, φίλιππος, τίμαρχος, ἕτεροι μυρίοι.

τί

84 παύσασθαι] ſubaudi δεῖν αὐτούς.

85 λέγεις] ſic Bav. λέγειν Morell.

86 τοῦ] malim τό.

87 λέγεις] hoc ſecundum λέγεις, non item, vt prius, ad Ariſtidem redit, ſed ad fictitiam quandam perſonam, verba pro Ariſtide facientem.

88 καὶ] malim ἢ καὶ an etiam — illud καὶ redit ad nomina inſequentia. Num Cliſthenes quoque et — Timarchi ſunt ab his (ſaltatoribus puta) ad ſtupri patientiam eruditi. Nomina haec pleraque mihi ſunt ignota; neque tanti puto loca auctorum veſtigare et indicare, quibus eorum mentio fit. non contemno eiusmodi operam; mihi tamen aliud datum eſſe arbitror negotium. interim conf. p. 702. 704. 706. ed. Mor.

τί δέ; ὑπὸ τούτων ἐπαιδεύθησαν τὸ ἄῤῥεν διώκειν εὔμνηστος, θράσυλλος, λάϊος, ἀριστογείτων, παμμένης, δημοκράτης, χαβρίας, μιστόλας, καλλίας, κριτίας, παυσανίας, ἀρχίδαμος, οἱ λακεδαιμονίων βασιλεῖς, τῆς ἐπαινουμένης πόλεως. καὶ τί δεῖ πάντας καταλέγειν, ἔργον πενταετηρίδος ὅλης, ἀλλ' οὐκ ἐκεῖνο λέγειν, ὅτι, εἰ μὲν τούτοις συνῆλθε[89] τοῖς ὀρχησταῖς ἡ παράνομος ἀφροδίτη, καιρὸν ἔχει τῷ σοφιστῇ τὰ ἐγκλήματα. εἰ δ' οὔπω ταύτης εἰς μέσον ἡκούσης, ἦσαν οἱ τὴν φύσιν ἀδικοῦντες, τί ἄν τις τὰ τοσούτῳ πρότερα τῆς ὀρχήσεως τῇ χρόνοις ὕστερον ἐκφανείσῃ περιάπτοι; ὥσπερανεὶ καὶ τὸν πυρετὸν καὶ τὰ ἄλλα ἀῤῥωστήματα τῶν ὀρχηστῶν ἔφασκεν εἶναι εὑρήματα, τὸν μενέλεων δὲ φὴς αὐτὸν ῥίψαι τὸ ξίφος, οὐκ ἔχων ὀρχηστὴν αἰτιάσασθαι τῆς κακίας. πλὴν εἰ τὸν μηριόνην. βοιωτοῖς δὲ ποῖος ὀρχηστὸς ἔθηκε κάλλιστον νόμον εἶναι τὸν κάκιστον[90], ἐραστῇ χαρίσασθαι; τὴν δ' ἦλιν τίς ἔπεισε τούτοις αὐτοῖς[91] χρήσασθαι, καὶ τὸν ἐπὶ τοὺς νέους δρόμον ἀνοῖξαι τοῖς περὶ τὰ κάλλη κεκινημένοις; οὔτε τὸ μὴ πάλαι τὴν ὄρχησιν εἶναι * ταύτῃ[92] σωφρονεῖν ἔπειθε τὰς πόλεις, οὔτ', ἐπειδήπερ εἰσῆλθεν, ἡγήσατο πρὸς ἀσέλγειαν, ἀλλὰ τῇ προαιρέσει τῶν νόμων, ὥσπερ τἄλλα, καὶ ταῦτ' ἀκολουθεῖ, χαλεπότητι μὲν κωλυόμενα, πρᾳότητι δὲ παρακαλούμενα. οὗ μὲν οὖν ἐπαινεῖται, πολὺ πράττεται. οὗ δὲ μέσως κολάζεται, τολμᾶται μέσως. τῆς δίκης δὲ λαβούσης μέγεθος, ἐπιεικῶς εἴργεται. ἐξ οὗ τοίνυν ὀρχησταί, (λέγω τοὺς νῦν) θάνατος ἡ δίκη τοῖς τὰ τοιαῦτα ἀδικοῦσιν. ὥστ', εἰ[93] παρὰ βοιωτοῖς ἀπὼν ὁ φόβος πάντας ἐνῆγε τοὺς μὲν ἐρᾷν, τοὺς δὲ χαρίζεσθαι,

τὸ

[89] συνῆλθε] malim συνεσῆλθε.

[90] τὸν κάκιστον] aut delendus eſt articulus, aut leg. τῶν κακίστων.

[91] τούτοις αὐτοῖς] ſcil. νομίμοις, ritu gratificandi amantibus.

[92] ταύτῃ] hac in parte, in amore puta formoſorum corporum. Multis etiam aliis in rebus cernitur temperantia.

[93] ὥστ' εἰ] ſic Bav. ὡς εἰ Mor.

τό γε νῦν τὸν ἔσχατον ἐπικεῖσθαι φόβον τοὺς μὲν ἐν σωφροσύνῃ τηρεῖ, τοὺς δ' ἀναίδην οὐκ ἐᾷ πλημμελεῖν, τῆς οὐ καλῆς ἡδονῆς ὑπὸ τῆς τοῦ ζῆν ἐπιθυμίας νικωμένης. ὁπότ' οὖν πρὸ μὲν τῶν ὀρχηστῶν ἡ ἐξουσία τῆς ὕβρεως, ἐν ᾧ δὲ οὗτοι χρόνῳ, θάνατος τοῖς ὑβρίζουσιν ἡ δίκη, πῶς, ἐξ οὗπερ ὀρχησαί, πλείων ἡ λύμη; τῶν γὰρ ᾀσμάτων ἐπιλαμβάνεται καὶ τοῦ χοροῦ, τοῦ μὲν ὡς οὐκ ἀπὸ σπουδαίων, οὔτ' ἀνδρῶν, οὔτε γυναικῶν, ἠθροισμένου, τῶν δὲ ὡς μαλθακώτερον ἐχόντων, καὶ βλαπτόντων εἰς ἀνδρείαν [94]. ὥσπερ ἐκείνων τε καὶ ἡμῶν οὐκ ἂν ἡδέως καλλίω μὲν ἰδόντων χορὸν, βελτίω δὲ δεξαμένων μέλη. ὡς ἔδει γε τῆς ἀνακρέοντος μούσης ἀποῤῥοήν τινα τούτοις ἐργάζεσθαι τὰς ᾠδάς. τὸ γὰρ αὐτὸ τὴν ὄρχησιν μὲν ἂν ἀπελάμπρυνε τούτοις, τῷ θεάτρῳ δ' ἂν ἐπηύξησε τὴν εὐωχίαν, ἀλλ' εἰ μὴ σαπφοῦς εὐποροῦσι, διὰ τοῦτο ἀδικοῦσιν; ὥσπερ ἂν εἴ τις τὴν τῶν ἀριστέων ἀνδραγαθίαν ψέγοι τῇ τῶν σκευοφόρων φαυλότητι. ἣν δ' οἶμαι κάλλιον, ἐῶντα τὴν ὄρχησιν, ἐπανορθοῦν τὰ περὶ τὸν χορὸν, ἢ ταῖς κατὰ τῶν χορευτῶν αἰτίαις τὴν ὄρχησιν ἀναιρεῖν. προσήκειν μὲν οὖν μουσικῆς ἀκριβείας τὰς ᾠδὰς [95], οὐκ ἂν φαίην. ὅτῳ δὲ βλάπτουσι τοὺς ἀκροωμένους, εὑρεῖν οὐκ ἔχω. σὺ δὲ τὴν τῆς μουσικῆς ἐξετάζων φύσιν, λέγεις μὲν ἀληθῆ, τῶν παρόντων δὲ ἀλλότρια. οὐ γὰρ ὡς γενναίων ᾀσμάτων ἀκουσόμενοι καὶ προσέξοντες τὸν νοῦν ἐρχόμεθα. οὐδὲ τὸ μὴ καταχεῖν ἅ τις ἤκουσε, ζημία. τοσοῦτον δὲ ἀπαιτοῦμεν μόνον, ὑπηρετῆσαι τὴν φωνὴν τοῖς σχήμασιν. οὐ γὰρ ἡ ὄρχησις ὑπὸ τῶν ᾀσμάτων πληροῦται. τῆς ὀρχήσεως δὲ ἕνεκα τὰ ᾄσματα εὕρηται. καὶ τὴν ἡμέραν κρίνομεν τῷ τῆς ὀρχήσεως κάλλει καὶ αἴσχει, οὐ τοῖς τῶν ᾀσμάτων ὀνόμασιν ἢ ῥυθμοῖς, ἀλλ' ἐκείνων μὲν βραχὺς ὁ λόγος, ἡ δ' ἐξέτασις τοῦ ναύτου, καὶ τοῦ θηρατοῦ, καὶ τοῦ ποι-

[94] *βλαπτόντων εἰς ἀνδρείαν*] imo vero *εἰς ἀνανδρίαν*. nam alias dicendum erat, in fallor, *βλ. τὴν ἀνδρείαν*.

[95] aut *μουσικῇ ἀκριβείᾳ τὰς ᾠδὰς* leg. videtur, aut *μουσικὴν ἀκρίβειαν ταῖς ᾠδαῖς*.

ποιμένος. ἣν δὲ λέγῃς, εἰς τὰς ψυχὰς καταδύεσθαι μουσικὴν, ἐκείνην λέγεις, ἣν ἐλάμβανον ἐς κιθαριστοῦ βαδίζοντες οἱ νέοι, παρὰ Κόννον ἰόντες, παρὰ Λάμπρον φοιτῶντες, πλείω σπουδὴν τούτῳ νέμοντες, ἢ παλαίστραις καὶ γράμμασιν, ἤ, εἰ βούλει γε, τὴν ἴσην, χρόνῳ καὶ πόνῳ καὶ μαθήσει κτώμενοι τὸ μουσικῆς ἀγαθόν. ἐντεῦθεν ὁ μαθὼν τοῦ μὴ μαθόντος κατεγέλα, καὶ ὁ βαρβίτῳ τὰς χεῖρας οὐκ εἰδὼς προσάγειν ἐκωμῳδεῖτο. εἰ δὲ ἴσον ἦν τῷ μαθεῖν τὸ παρατρέχοντα [96] ἀκοῦσαι καὶ τὰς ψυχὰς ὁμοίας ἐργάζετο, πάντας ἂν ὁμοίους ἐποίει τότε τὰ θέατρα, κοινῆς τῆς ἀκροάσεως οὔσης. οὕτω δὴ καὶ νῦν ἂν μὴ δείξῃς, ὡς οἱ τῶν ᾀσμάτων τούτων ποιηταὶ περιρρέονται μαθηταῖς, καὶ ὑφηγοῦνται τὰ μέλη, καὶ τῆς ἴσης φροντίδος, τούτοις τε συγγενέσθαι καὶ σοφισταῖς, οὐδεμία βλάβη παρὰ τοῦ χοροῦ ψυχαῖς εἰς τὸν ὀρχηστὴν * τεταμέναις [97], καὶ τὴν ᾠδὴν ἐν ἐλάττονι ποιουμέναις. ὥστε οὐ κατακλῶνται μὲν, οὐδὲ ἄθυμοι παντάπασιν ἀποβαίνουσιν. (εἰς τοῦτο γάρ, οἶμαι σοι τὸ κατακλᾶσθαι φέρει) εἰ δὲ δὴ τὰ μάλιστα τὸν θυμὸν οὐκ ἐᾷ ζῆν ἐν ἑκάστῳ, τὰ μέγιστα τὴν οἰκουμένην εὖ ποιοῦντα λανθάνει. δήμων γὰρ ἀστρατείας * ἀπολαυόντων [98], εἰ μὴ τὸ θυμοειδὲς πραΰνοιτο, περὶ τοὺς πολέμους οὐκ ἔχον ἀναλωθῆναι, στάσεων [99] ἀφορμὰς ἐκπορίζει [100] τῷ πλήθει. τούτους οὖν εἰ κατεπᾴδοι τὰ ᾄσματα, καθάπερ ὄφεις τινὰς, καὶ παρασκευάζοι τὴν ἡσυχίαν στέργειν, ὑπὸ τῶν ᾀσμάτων αἱ πόλεις σωζόμεναι τῶν τὰ μέγιστα εὐεργετούντων ἠμελήκασι ποιητῶν. οὑτωσὶ μὲν κἂν πάνυ σε [1] φῶμεν ἀληθῆ λέγειν, ἐστὶν εὐχήμων ὁ λόγος τοῖς ᾄσμασιν, ὡς δ' οὐδὲ παν-

[96] παρατρέχοντα] sic Bavar. quod siue pro accusat. singul. generis masculini, siue pro plurali neutrius accipi potest. παρατρέχοντι Morell.

[97] τεταμέναις] sic dedi de meo. a verbo τείνειν; *intentis*. in Mor. et B. est τεταγμέναις.

[98] ἀπολαυόντων] rursus de meo sic dedi, pro ἀπολαβόντων M. et B.

[99] στάσεων in plural. praetuli e margine Morelli lectioni texti στάσεως in singulari.

[100] ἐκπορίζει] malim in optatiuo ἐκπορίζοι.

[1] σε] sic Bav. γε Morell.

παντάπασιν ἐκτρίβει τοῦ θυμοῦ τὴν φύσιν, οὐδὲ ἐκλύει καθάπαξ, οὐδὲ πᾶς ἀκροατὴς ἐκνενευρισμένος κάθηται, δῆλον ἐγγύθεν. ὅταν γὰρ διῃρημένοι ταῖς σπουδαῖς, οἱ μὲν ὡς τοῦτον, οἱ δὲ ὡς ἐκεῖνον, οἱ δὲ ὡς ἕτερον, βοὴν μὲν ἐγείρωσι τραχεῖαν, συμπεσόντες δὲ ἐρίζωσι, προτιθεὶς ἕκαστος τῶν ἄλλων, ὃν ᾕρηται· τὼ χεῖρε μὲν παρ᾽ αὐτοῖς ἔχοντες, διὰ τὸ σωφρονεῖν, λόγῳ δὲ μαχόμενοι, διὰ τὸ ἐῤῥῶσθαι, τότε τοὺς * ὁρῶντας [2] διδάσκουσιν ὡς οὐ σφόδρα γεγόνασι μαλθακοὶ διὰ τῶν ᾀσμάτων. πάλιν τοίνυν ἀριστείδης εἷς γίνεται τῶν κατακεκλασμένων. λέγει γὰρ ὡς ὁ τούτοις ὑποθεὶς τὰ ὦτα διέφθαρται. τῶν τοίνυν ὑποθέντων ἐστιν ἡμῖν καὶ αὐτός. τῶν γὰρ δὴ παιδῶν τινες διακονοῦντες δεσπόταις, εἰς ἀγορὰν τρέχοντες, κἀκεῖθεν οἴκαδε, τῶν ᾀσμάτων ἅττα ἂν διασώσωνται, διὰ τῶν στενωπῶν σπεύδοντες ᾄδουσιν, ὥστε καὶ τοῖς μὴ βουλομένοις [3] ἀκούειν, ἀνάγκην ἀκούειν εἶναι, καὶ τῇ συνεχείᾳ παρὰ τοῖς οὐκ ἐθέλουσιν ἀκούειν τὴν μνήμην ἐνίοτε πήγνυσθαι. διεφθάρης οὖν καὶ αὐτός. ἢ [4] κατὰ τὸν ζάμολξιν ὑπὸ γῆς διῃτῶ [5], καὶ διέφυγες τὴν ἅλμην [6]; ἢ κηρὸν ἐμβαλὼν τοῖς ὠσὶ περιῄεις, καὶ τὰς σειρῆνας παρέπλεις; καὶ μὴν κατηγορεῖς γε τῶν ᾀσμάτων, τοῦτο δὲ οὐκ ἂν ἀρνήσαιο μὴ δικαίως [7] ποιεῖν, εἰ μὴ πᾶν, ὡς ἔοικε,

τὸ

[2] ὁρῶντας] ſic dedi de meo. ἐρῶντας B. et M.

[3] τοῖς μὴ βουλομένοις] addidi particulam inſitiantem, qua Morell. caret, ex ♀ et Bauarico quodammodo. nam in eo ſcriptum quidem eſt μὴ, verum rurſus inductum.

[4] αὐτός. ἢ —] poteſt ferri, ſi ſententia habitu interrogationis conueſtitur. vt feci, ſigna interrogandi ponendo. malim tamen ſic legi αὐτὸς, εἰ μὴ ἢ κατὰ — niſi ſi, ſecundum Zamolxin —

[5] διῃτῷ] ſic in ſecunda perſona ſing. dant Bav. et margo Morell. pro διητῶν texti Mor. quod prorſus nihili eſt.

[6] ἅλμην] vocabulum haud protritum, ſed exquiſitum adeo, quod ideo tamen nihilominus corruptum hic loci arbitror, et cum λύμην aut λώβην mutandum.

[7] μὴ δικαίως] aut noue hoc dictum eſt, et poteſt fieri, vt illa graecitas aetate Libanii obtinuerit. quod ſi tamen attice locutus eſſe cenſendus eſt

Noſter

τὸ ἐν αὐτοῖς βλαβερὸν ἐξήτακας. τοῦτο δὲ οὐκ ἔστιν ἀνηκόῳ τῶν ᾀσμάτων ποιῆσαι. γέγονας τοίνυν ἀκροατὴς τῶν ᾀσμάτων, καὶ τὴν ἀσπίδα ἔῤῥιψας [8]. καὶ τί δεῖ μακρολογεῖν; οἷς γὰρ ἐπιστούμην, ὑπὸ τῆς ὀρχήσεως οὐ διεφθάρθαι τοὺς θεατὰς, ἐν ᾧ καὶ τῶν ἀρχόντων ἐμνήσθην. ταῦτα καὶ τὸν ὑπὲρ τῶν ἄλλων ᾀσμάτων ἔλεγχον ἔχει. οἱ γὰρ, μετὰ τῆς ὀρχήσεως, καὶ τῶν ᾀσμάτων κεκοινωνηκότες εἰ πεφήνασιν ἀγαθοὶ, μαρτυροῦσι μηδέτερον αἴτιον εἶναι διαφθορᾶς. εἰ γὰρ ἡ μὲν ὄρχησις οὐκ ἦν κακὸν, τὰ δὲ ᾄσματα, πάντως ἂν, εἰ μὴ παρ' ἐκείνης, ἔκ γε τούτων διεφθείροντο. νῦν δὲ οὐ διεφθάρησαν. ἑκάτερον ἄρα τοῦ λυμαίνεσθαι κεχώρισται. σὺ δὲ σεμνότερος εἶ τοῦ δέοντος, καὶ περικόπτεις ὥσπερ λειμῶνος, τὰ τῆς εἰρήνης ἡδέα. ᾧ τοίνυν τοὺς πολλοὺς * ἀνήρτηται [9], καὶ οἱ πλεῖστοι περιφέρουσιν ἐν στόμασιν [10], οἱ θαυμάζειν δὲ εἰδότες ἀγνοοῦσι διότι θαυμάζουσι, * τοῦτο [11] τυράννου ῥήματι προσέοικε μᾶλλον, ἢ λόγῳ πίστιν ἔχοντι. μνησθεὶς γὰρ τῶν ἀπὸ τοῦ διὸς [12] συντελούντων τοῖς δρωμένοις, τούτοις, φησὶν, ὅσον τῆς βλαύτης περίεστι, τοσοῦτον ἐχρῆν ἀφαιρεῖν τῶν ποδῶν. διὰ τί, πρὸς θεῶν; ἢ διὰ τοῦτο μόνον ὅτι σοι τοῦτο δέδοκται; εἶτα τὴν τοῦ ῥήτορος τάξιν ἔχων ἁρπάζεις τὴν τοῦ δικαστοῦ, τὸ μὲν [13], ὡς ἀδικοῦσι,

δεικνύειν

Noſter, rectius erit *μὴ οὐ δικαίως.*

[8] *τὴν ἀσπίδα ἔῤῥιψας*] e caſtris pudoris et continentiae effugiſti.

[9] *ἀνήρτηται*] ſic dedi de meo. qua itaque re Ariſtides multitudinem ex ſe ſuſpendit, h. e. ſibi deuinxit, admiratione ſtudioque ſui captos.

[10] *στόμασιν*] ſic dedi ex ♀ et Bav. *σώμασιν* Morell.

[11] *τοῦτο*] ſic dedi de meo pro *τούτῳ* Morell. in Bav. eſt *τούτω.* quod meam emendationem ſatis clare confirmat.

[12] *ἀπὸ τοῦ διὸς*] locus hic de ingentibus blautis ſeu crepidis Iouialium, et opera a Iovialibus in ſaltatione ſcenica praeſtita, mihi eſt obſcurus.

[13] *δικαστοῦ, τὸ μὲν*] poſt voc. *δικαστοῦ* additum habet Morell. *κατὰ*, ſed vncis incluſum. Ego, vt inutile, ſponte mea, et ex auctoritate Bav. deleui. *ἔγκλημα. ἀλλὰ* —] interponendum videtur *οὐ.* *an hoc quereris?* reſpondet *Neutiquam.* rurſus noua interrogatio. *ἀλλὰ τὸν κτύπον* —

δεικνύειν φυγών, ἃ δ᾽ ἐχρῆν παθεῖν, εἴπερ ἑάλωσαν, λέγων; μή σύ γε. ἀλλ᾽ ἔλεγχε μέν. καὶ γὰρ διώκεις. τῆς ζημίας δὲ ἕτερος ὁριστής. ἀλλ᾽ οἶμαι, τοὺς ἐγείροντας ψόφον οὐκ ἔχων εἰπεῖν ὡς εἰς μαλακίαν ἄγουσιν, ἀπορίᾳ τῶν ἐλέγχων τὴν τιμωρίαν ἔταξε. τῷ ποδὶ, φησὶ, τὴν σκηνὴν καταῤῥηγνύντες. ἀλγεῖς οὖν ὑπὲρ τῶν ξύλων. καὶ τοῦτό ἐστι τὸ ἔγκλημα; ἀλλὰ τὸν κτύπον δυσχεραίνεις ὅλως; οἱ οὖν τοῖς ξίφεσι τὴν ἀσπίδα κρούοντες ἐν παρατάξει, καὶ προκατασείοντες τὰς γνώμας τῷ φόβῳ, τὰς χεῖρας ἀποκόπτεσθαι δίκαιοι πρὸς μέτρον τῶν ξιφῶν. οἱ δὲ κυμβάλοις θεραπεύοντες τοὺς θεοὺς, (ἐστὶ δὲ κἀκεῖ πολλάκις τῶν ποδῶν τὸ ἔργον.) οἵ τε τυμπάνοις ἱλεούμενοι τὸ θεῖον, τί παθεῖν ἄξιοι; πόσον ἀποκοπῆναι; κτύπου δεῖ [14] τοῖς ὀρχησταῖς, ὦ δαιμόνιε, μείζονος, ὃς τά τε τοῦ χοροῦ διοικήσεται πρὸς τὴν χρείαν, καὶ συμβαλεῖ τοῖς ὀρχησταῖς εἰς εὐρυθμίαν. οὗτος δ᾽ ἀπὸ ψιλοῦ τοῦ ποδὸς οὐκ ἂν ἀποχρῶν εἴη. δεῖ δή τινα κανόνα σιδηροῦν ἀπὸ τῆς βλαύτης ὁρμώμενον ἀρκοῦσαν ἠχὴν ἐργάσασθαι. διὰ τοῦτ᾽ ἄρα τοὺς συντελεῖς παραιρῇ [15] τὸν πόδα, καὶ μιμῇ παλαιὰν ὠμότητα, συμβουλεύων ἀποκόπτειν, ὡς χεῖρας τινὲς, μᾶλλον δὲ καὶ χεῖρας ἐκ τῶν αὐτῶν λογισμῶν καὶ κεφαλάς. χεῖρας μὲν, ὅσαι σεῖστρα φέρουσιν, ἐπειδὴ τοῦ κρότου τοῦ δι᾽ αὐτῶν [16] ἐζήτησάν τι πλέον. κεφαλὰς δὲ, διότι κυνῆν ἐπέθεντο, καὶ ὑπὲρ αὐτῆς ἀνέστησαν λόφους. τραγῳδοὺς δὲ ποίει βραχυτέρους γόνατα ἀποτέμνων, ἐπειδήπερ ἐμβάτας ἀναβάντες ἐμηχανήσαντο τοὺς ἄλλους ὑπεραίρειν, τὸν δὲ σαλπιγκτήν σοι λείπεται ζῶντα κατορύττειν, ὡς οὐδὲν αὐτῷ τοῦ σώματος ἰσομέτρητον τῇ σάλπιγγι. μᾶλλον δὲ οὐδὲ ἅπαν τὸ σῶμα. πολλὰ δὲ καὶ παραλείπω, τόξον, βέλος, ἀκόντιον, δόρυ, σμινύην, ἄροτρον. ἃ τοὺς

χρω-

[14] κτύπου δεῖ] v. Valeſ. ad Ammian. p. 28.

[15] παραιρῇ] ſic ς et Bav. παραίρῃ Morell.

[16] δι᾽ αὐτῶν] ſcil. τῶν χειρῶν. quia manus per ſiſtra fremitum excitare conatae ſunt maiorem, quam ipſae per ſe poterant.

χρωμένους ἀκρωτηριάσεται τοῦ σοῦ νικῶντος δόγματος. εἰ γὰρ ἐν οἷς ὀργάνων ἄνθρωποι προσδέονται [17], δεῖ τοσοῦτον ἀποκόπτεσθαι τοῦ σώματος, ὁπόσον ἐστὶ τὸ ὄργανον, οἱ μὲν τὸν ἱππολόχου [18] δέξαιντο [19] θάνατον, τοὺς δὲ, εἰ μὴ μέλλουσι δώσειν δίκην, ἴσως δεῖ τοῖς ἀλωέως γενέσθαι παισίν. ὥστε καὶ τῶν μηχανημάτων, ἃ προσάγουσι τοῖς τείχεσιν, εἶναι δίκην λαβεῖν. ὁρᾷς οἷ τὸ πρᾶγμα βαδίζει διὰ τὴν ὀργήν σου τὴν κατὰ [20] τῆς βλαύτης. ἴσως τοίνυν τις ὑπολήψεται· καὶ πῶς, εἴ περ ἡγῇ τὸ πρᾶγμα καθαρεῦον βλάβης, αὐτός τε ἀπέχῃ, τούς τε νέους [21] κωλύεις; ὅτι τὸ μὲν ἐμὸν, ὦ βέλτιστε, τοιοῦτόν ἐστιν, ὥστε μόλις εἰς τὰ ἀναγκαῖα σχολῆς ἀπολαύειν. * ὁ γὰρ [22] ἑρμῆς ἐπιὼν ἀποσπᾷ καὶ τραπέζης καὶ λουτρῶν, καὶ δεῖ πάσας ἀφελόντα τὰς ἔξωθεν ἡδονὰς, προσηλῶσθαι τοῖς λόγοις. ὅθεν δὴ καὶ τοῖς πολλοῖς δύσκολος εἶναι δοκῶ, [διὰ [23]] τὴν ἀνάγκην, ἥ με κατείρξασα ἔχει, μὴ προσενθυμουμένοις. ἐγὼ δὲ καὶ τῆς ὑγιείας προδότης γεγένημαι τῇ περὶ τοὺς πόνους ἀπληστίᾳ. καὶ νουθεσίαις οἰκείων καὶ φίλων οὐδεὶς ἐνδιδοὺς παραπαίειν δοκῶ. πῶς οὖν ἔμελλον καταλήψεσθαι θέαν, καὶ καλοῦσιν ὀρχησταῖς ὑπακούσεσθαι, τοιούτοις οἴκοι δεδεμένος παιδικοῖς. νέῳ δὲ ὀρ-

χηστὴν

[17] προσδέονται] sic Bav. προσδέοιντο Mor.

[18] ἱππολόχου] malim ἱππολύτου. nam Hippolytus ab equis suis membratim concerptus est.

[19] δέξαιντο] δέξονται Bav.

[20] τὴν κατὰ] sic ♀ et Bav. omittentes καὶ quod Morell. intergestum habet.

[21] τούς τε νέους] sic Bav. et margo Morell. cuius textum pro particula τε dat δέ.

[22] ὁ γάρ] sic dedi de meo. B. et M. οὐ γάρ. quod si bene habet, erit sententia cum interrogatione proferenda. annon Mercurius ingruens, (vel, cum ingruit) avellit — ἔπεισι Mercurius tum, cum vis commentandi vel differendi incalescit, cum quis ἑαυτοῦ θερμότατος καὶ ὀξυτατός ἐστι πρὸς τὸ λέγειν καὶ τὸ γράφειν. aut vbi quis affluit numero puerorum, doceri cupientium.

[23] διὰ vncis inclusi, vt inutiliter et importune redundans, eoque amputandum. aut alias desunt quaedam.

χηστὴν [24] ἐξέσται μὲν θεωρεῖν, νῦν δ' οὐκ ἔξεστι. καὶ περὶ ὁ σπουδάζων ὕστερον οὐκ ἀδικήσει, τούτου νῦν ἐχόμενος οὐκ εὖ φρονήσει. διὰ τί; ἐκ δελφῶν ἡ συμβουλή σοι φοιτᾷ, τὸν καιρὸν ἐπαινοῦσα. τίνος οὖν ὁ παρὼν καιρός; πονων καὶ τοῦ μαθεῖν. τίνος δὲ ὁ μετὰ ταῦτα; σπουδαιων ὁμοῦ καὶ τερπνῶν. ὁ τοίνυν ἐπειγόμενος [25] παραβαίνει μὲν τὸν νόμον τῇ σπουδῇ, ζημιοῦται δὲ τῷ παρακαίρως. οὐ δὴ τῆς ὀρχήσεως ἐστὶ κακία [26], τῶν καιρῶν ἡ φυλακή. καὶ γὰρ τὰς ἵππων ἁμίλλας, αἷς οὐδαμοῦ μέμφῃ, βλαβερὸν ἡγοῦμαι τοῖς νέοις, εἰ μεταφέροιεν ἑαυτοὺς ἐπ' αὐτὰς ἀπὸ τῶν λόγων. καὶ γὰρ τὸ πολιτεύεσθαι καὶ γαμεῖν, καὶ καλὰ καὶ δίκαια καὶ πόλεσιν ἀσφάλεια μεγίστη ἀλλ' ἐὰν οἷς οὔπω ταῦτα προσήκει, καὶ γαμῶσι, καὶ πολιτεύωνται, καὶ μὴ συνᾴδη [27] τὰ γινόμενα τῷ χρόνῳ, τὸ φύσει καλὸν τοῦ καιροῦ στερηθὲν, οὐ τοιοῦτον ἀπέβη. τῶν λόγων ὁ νέος ἔσω νῦν, ὥσπερ ὁ πλέων [28] τὴν θαλατταν. ἐπειδὰν δὲ λιμένος ἀμφότεροι λάβωνται, τότε τοῖς ἑκατέρων [29] ἐμπόροις ὑπάρξει τοῖς ἀπὸ τῆς σκηνῆς χαρίσασθαι τῇ γνώμῃ. ὁ δὲ τὸ μὴ τοῖς νέοις δεδόσθαι θεωρεῖν [30] κατὰ τῆς ὀρχήσεως λαμβάνων, παραπλήσιον ποιεῖ τῷ κακίζοντι τὴν ὄρχησιν, ὅτι τοῖς τὰ πελάγη διαβαίνουσιν [31] οὐκ ἐστὶ θεωρεῖν ἐν τῷ πλεῖν. οἷς μὲν

οὖν

[24] ὀρχηστὴν] ſic margo Morell. ὀρχηστὸν Bav. ὀρχηστῇ textum Morelli.

[25] ἐπειγόμενος] ad oblectamenta ſcenica properans ante tempus.

[26] κακία] num κάκισις. obſeruatio temporum non eſt vituperatio ſaltationis.

[27] συνᾴδῃ] ſic ♀ et Bav. συνᾴδει Morell.

[28] ὥσπερ ὁ πλέων] interponendum videtur τῆς ναός. quemadmodum naui adhaereſcit per mare nauigans.

[29] ἑκατέρων] ἔμπορος τῶν λόγων eſt, qui merces literarias alias quaerit et quaſi coëmit, alias ad vſum vitae confert, h. e. quaſi vendit. ἔμπορος τῆς θαλάττης autem eſt negotiator, mare exercens.

[30] θεωρεῖν] ſic Bav. et margo Morell θεωρῶν textum M.

[31] διαβαίνουσιν] ſic etiam Bav. ita tamen, vt ſuper αιν ſcriptum habeat αλλ h. e. διαβάλλουσιν. quod etiam margo Mor. dat.

οὖν εἶχον αὐτὸς [32] ἐξελέσθαι τῆς συκοφαντίας τὸ πρᾶγμα, ταῦτά ἐστι. γένοιτο δ' ἂν ἴσως καὶ μείζων βοήθεια τοῖς ὀρχησταῖς ἀπὸ βελτίονος ῥήτορος. αἰσχυνοίμην δ' ἂν εἰ πόῤῥω ψόγου καταστήσας τὴν ὄρχησιν μὴ καὶ τῷ τῆς εὐφημίας μέρει προσήκουσαν ἐπιδείξαιμι. πρῶτον μὲν οὖν, οὐ παντός ἐστι σώματος ὑποδέξασθαι τὸ πρᾶγμα. ἀλλ', ὥσπερ ἐπὶ σκυλάκων καὶ πώλων, καὶ τῶν εἰς ἀθλητὰς μελλόντων τελεῖν, οἱ τούτων ἕκαστον δεινοί γ' ἰδεῖν δοκιμασίαν προσάγοντες τὰ μὲν ἐγκρίνουσιν, ὅσα τῷ τύπῳ τῶν σωμάτων μηνύει τὴν ἐπὶ τῶν πράξεων ἀρετήν. τὰ δὲ οὐκ ἀρέσκοντα τοῖς ἔργοις [33] ἀποῤῥίπτουσιν. οὕτω * δεῖ [34] καὶ τὸν παῖδα [35] δηλοῦν, ὡς ὕψους μὲν ἐφίξεται μετρίου, πολυσαρκίας δὲ οὐχ ἅψεται. δεῖ δὲ αὐτῷ καὶ αὐχένος ὀρθοῦ καὶ βλέμματος οὐχ ὑπτίου, καὶ δακτύλων εὖ πεφυκότων, καὶ ὅλως κάλλους, ὃ πλεῖστον ἐν τοῖς τῶν θεῶν πράγμασι. μάλιστα δὲ μεταληπτέον [36] ὀρχηστῇ. παραλαβὼν δὲ αὐτὸν ὁ παιδοτρίβης εἰς πλείους καὶ θαυμασιωτέρας καμπὰς ἢ τὸν παλαιστὴν, περιάξει τὴν κεφαλὴν, ἀνάγων ὑπὲρ τῶν νώτων τὼ πόδε. καὶ πρός γ' ἔτι προκύπτειν τοῦ προσώπου καταναγκάζων, ὥστε τὰς πτέρνας τοῖς ἀγκῶσι πελάζειν. ἐπειδὰν δ' ἐργάσηται τὸ σῶμα κύκλον, ὥσπερ τινὰ λύγον, κινεῖ πρὸς δρόμον, οἷα τρόχον, τὸ δὲ θεῖ. καὶ τοῖς μέλεσιν ὁ δρόμος γίνεται [37] βλάβη. πάλαι γὰρ δὴ πεπαίδευται τούτων ἕκαστον, ὑγρὸν εἶναι, μικροῦ διοικίζοντος ἀπ' ἀλλήλων τοῦ παιδοτρίβου τὰ μέλη, καὶ τὰς συμβολὰς τηροῦντός τε αὐ-

τοῖς

[32] αὐτὸς] sic Bav. αὐτοὶ Mor.

[33] ἀρέσκοντα τοῖς ἔργοις] videtur leg. ἀρέσκοντα, ὡς οὐκ ἀρκέσοντα τοῖς ἔργοις. quae non arrident, repudiant, vt haud paria futura functionibus peragendis.

[34] δεῖ] sic dedi de meo. B. et M. dant δή. vel potest vtrumque copulari. οὕτω δὴ δεῖ.

[35] τὸν παῖδα] scil. τὸν εἰς τοὺς ὀρχηστὰς ἐγκριθησόμενον.

[36] μεταληπτέον] malim μέγα ὑποληπτέον.

[37] γίνεται] imo vero οὐ γίνεται. ab illo cursu corpus nil laeditur.

τοῖς ὁμοῦ καὶ διϊστάντος. ὥστε καὶ χεῖρας καὶ πόδας, ὅπου τις * ἂν ἄγῃ [38], τοῦ λοιποῦ σώματος, ἀκολουθεῖν, ὥσπερ οἶμαι καιροῦ φύσιν. τοιοῦτον ὁ γυμναστὴς τῷ διδασκάλῳ [39] παρασκευάσει τὸ σῶμα. λαβὼν δ' ἐκεῖνος εὐπειθῆ τῶν μελῶν τὴν ἁρμονίαν, εἰς ἅπαντος σχήματος κατασήσει μίμησιν. μόχθος δὲ ἀμφοῖν οὐ μικρὸς, τοῦ μὲν ὅπως ὑφηγήσαιτο, τοῦ δὲ ὅπως ἐκδέξαιτο. καὶ τοῦ χρόνου τὸ μὲν τὰς μελέτας ἔχει, τὸ δὲ τῶν μελετηθέντων ἔννοιαν. δεῖ γὰρ καὶ τοῦ κινεῖσθαι πεπαυμένον φυλάττειν ἐν τῇ ψυχῇ τὰ πεποιημένα, ὥστε καὶ οὗτοι σαφῶς ἴσασιν, ὅτι ἡμῖν τῶν πόνων πωλοῦσιν ἅπαντα τἀγαθ' οἱ θεοί. ὥσπερ γὰρ οἷς ἔρως συλλέξασθαι λόγους, τούτοις μέγιστον εἰς τὴν ἐπιθυμίαν ἐφόδιον οἱ πόνοι, καὶ οὐκ ἔστιν ὁμοῦ τό τε σῶμα παχύνειν καὶ τὴν ψυχὴν θεραπεύειν. οὕτως οὐκ ἔστιν ὄρχησιν καὶ πλησμονὴν συνελθεῖν. ἀλλ' ἀνάγκη τὸν θατέρου γλιχόμενον ἀφεστάναι [40] θατέρου. ὥστε ἢν ἐπιστὰς ὀρχηστῇ δειπνοῦντι, τοῦτον ἴδῃς ὑπερεσθίοντα, ψήφιζε τὸν ἄνδρα μὴ πολὺ βελτίω τῶν λίθων εἶναι. τὴν γὰρ τέχνην ὑπὸ τῆς τρυφῆς ἀπολωλεκέναι. καὶ μᾶλλον ἄν τις εὕροι λόγους σπουδαίους μετ' οἴνου συντεθέντας, ἢ σωθεῖσαν ὄρχησιν ἐν σώματι, μὴ τῆς γαστρὸς κολαζομένης. οὔτε γὰρ λαβεῖν ἐστι [41] τὸ πρᾶγμα τὴν ἀρχὴν, ἢ δι' ἐγκρατείας, καὶ λαβόντι τοῦτ' αὐτὸ [42] τῶν κτηθέντων φυλακτήριον. ὡς, ὅστις αὐτὸν ἐπαφῆκε τραπέζαις, εἰς μόλιβδον ἀντὶ πτηνοῦ μεταβέβληκεν. εἰ οὖν ἐν πλησμονῇ μὲν

[38] τις ἂν ἄγῃ] sic dedi de meo, in duo vocabula diuellens, quae in Mor. coaluerant in vnum ἀνάγῃ, tum ἀνάγκῃ tollens, quod ante ἀνάγῃ dat Morell. natum, vt vltro patet, ex illo.

[39] τῷ διδασκάλῳ] magistro artis saltandi.

[40] ἀφεστάναι] sic de meo dedi. ἀφεστῆναι Bav. ἀφιστάναι Morell.

[41] λαβεῖν ἐστι] subaudi, vel adde potius ἄλλως. aliter non licet hanc artem percipere. aut alias cum margine leg. εἰ μὴ δι' ἐγκρ.

[42] τοῦτ' αὐτό] scil. studere temperantiae.

μὲν κύπρις, ἐν πεινῶντι δ' οὔ [43], πόῤῥω τῶν ἀφροδισίων οἱ πλησίον ἀκριβοῦς ὀρχήσεως. καὶ παράδειγμα ταύτῃ γε χρηστοῦ τινος, οὐκ ἐπιζημίου. τοιαύτη μὲν ἡ εἴσοδος ἡ εἰς τὴν τέχνην, καὶ φρουρὰ τῆς τέχνης, τοῖς ἀσελγέσι καὶ φθοροῖς, ὡς ἄν τις εὖ φαίη, παντελῶς ἄβατος. οὐ μὴν ἔστιν εἰπεῖν, ὡς ταλαιπωροῦνται μὲν, εἰς ἄχρηστον δὲ τοῖς δήμοις. ἀλλά μοι δοκεῖ πάντων εἶναι χρησιμώτατον, ὡς ἐν τοῖς παροῦσι. σκόπει δὲ [44]. ἐγὼ νομίζω τοὺς ποιητὰς ἐν δόξῃ καὶ θαύματι καὶ λόγῳ καὶ πᾶσι γέρασιν εὐθύς τε ἐξ ἀρχῆς γενέσθαι, καὶ νῦν ἔτι καθεστάναι, οὐχ ὅτι τῶν ἔργων τοὺς ἀνθρώπους ἀπάγοντες [45] ἐν τῇ τῶν ἐπῶν ἀκροάσει κατανάλισκον [46], τὸν χρόνον τηνάλλως ᾄδοντες, ἀλλ' ὅτι μνήμῃ παλαιῶν ἔργων ἐπαίδευον τοὺς συλλόγους, κατὰ τῶν πρὸ τοῦ γεγενημένων οὐκ ἐῶντες ἰσχύσαι τὴν λήθην ὑπὲρ [47] τῶν ἔτι ζώντων. ὁ γὰρ δὴ πεπληρωμένος τῆς τῶν ἡρώων καὶ γνώμης καὶ τύχης ἀμείνων ὁμιλῆσαι πράγμασιν, ἐν τοῖς ἐκείνων παθήμασι τὸν αὐτοῦ βίον ὀρθῶν. ἀκούων γὰρ σωμάτων καὶ χρημάτων καὶ τυραννίδων ἔρωτας εἰς συμφορὰς τοῖς τετυχηκόσι τελευτήσαντας, καὶ τοὺς ἀδικοῦντας ἀπολλυμένους, καὶ τοὺς ἠδικημένους κρατοῦντας, τὴν τοῦ δικαίου τάξιν εὑρίσκων ἀσφαλεστέραν, αὐτῷ παραινεῖ δικαιοσύνην τιμᾶν. ᾧ δὲ [48] ἄνθρωπος πιέζεται μάλιστα παίδων θανάτοις, τοῦτο πῶς οὐκ ἂν ἐνέγκοι πεντήκοντα παῖδας ὁρῶν ἐν ὀφθαλμοῖς [49] πατέρων κειμένους, καὶ θυγατέρα σφαττομένην ἀνθ' ἱερείου πρὸς τάφον. καὶ πάλιν ἑτέ-

ρους

[43] ἐν πλησμονῇ μὲν κύπρις, ἐν πεινῶσι δ' οὔ videtur fenarius Euripidis effe.

[44] ad σκόπει δὲ addendum videtur ὧδε.

[45] ἀπάγοντες] fic ♀ et Bav. ἀπάγοντας (in accufat.) Morell.

[46] κατανάλισκον] pro α tertio dat B. v. η.

[47] ὑπὲρ fi bene habet, fignificat in vel ad commodum eorum, qui adhuc viuunt et fuperfunt, non finentes obtinere obliuionem damnoiam eorum memoriae, qui antea fuerunt.

[48] ᾧ δὲ] fic ♀ et Bav. ὃ δὲ Morell.

[49] ὁρῶν ἐν ὀφθαλμοῖς] fic ♀ et Bav. ὁρῶμεν ὀφθ.

ρους ὑπὸ τῶν χειρῶν τῆς μητρὸς, πῆ μὲν μανείσης, πῆ δὲ ἐπισταμένης. τὸ δὲ μηδ' ἐκείνῃ λυσιτελῆται, τῇ κόλχῳ [50], ξένῳ συμπρᾶξαι κατὰ τῆς οἰκείας, μηδέ γε τῷ σωθέντι, τῆς σεσωκυίας ὑπεριδεῖν. ταῦτα πάντα παιδεύματα τῶν ἴσων ἀνείργοντα [51]. καλὸν εἰς τὸν βίον καὶ καρτερία [52]. ταύτην ἡμᾶς ἀνὴρ ἰθακήσιος διδάξει, μετὰ τὴν πολλὴν θάλατταν καὶ τὸ σπήλαιον τοῦ κύκλωπος καὶ τὴν ὑπὲρ τοῦ πορθμοῦ τὰς πολλὰς προβαλλουσαν κεφαλὰς, οἴκοι τοὺς οἰκέτας παίοντας καὶ ἐναλλομένους φέρων. ὅλως ἢ φιλοτίμων πράξεις ἀκούοντες, ἢ προπετῶν ἁμαρτίας, ἢ συμφορῶν ὑπερβολὰς, τὰ μὲν μιμεῖσθαι, τῶν δὲ ἀπάγεσθαι [53] παιδευόμεθα. ἕως μὲν οὖν ἤνθει τὸ τῶν τραγῳδοποιῶν ἔθνος, κοινοὶ διδάσκαλοι τοῖς δήμοις εἰς τὰ θέατρα παρῄεσαν. ἐπειδὴ δὲ οἱ μὲν ἀπέβησαν, τῆς δ' ἐν μουσείοις παιδεύσεως, ὅσον εὐδαιμονέστερον ἐκοινώνησε, τὸ πολὺ δὲ ἐστέρητο, θεῶν τις ἐλεήσας τὴν τῶν πολλῶν ἀπαιδευσίαν ἀντεισήγαγε τὴν ὄρχησιν, διδαχήν τινα τοῖς πλήθεσι παλαιῶν πράξεων. καὶ νῦν ὁ χρυσοχόος πρὸς * τὸν [54] ἐκ τῶν διδασκαλείων οὐ κακῶς διαλέξεται περὶ τῆς οἰκίας πριάμου καὶ λαΐου. φροντίζουσα δὲ ἡ τέχνη τοῦ τὰς ψυχὰς ἐγρηγορέναι, παύσασα πολλάκις τὴν φωνὴν τοῦ χοροῦ, διὰ τῶν σχημάτων παιδεύει τὸν θεατὴν αἱρεῖν [55] τὸ πρᾶγμα. καὶ τὸ μὲν ἀθηνᾶς ἐννοεῖν καὶ ποσειδῶνος [56] ποσειδῶ, διὰ δὲ ἡφαίστου τὴν ἀθηνᾶν. διὰ δὲ πυρὸς ἥφαιστον, διὰ δὲ γανυμήδους δία, διὰ δὲ ἀχιλλέως

[50] τῇ κόλχῳ] Medeam significat.

[51] ἀνείργοντα] sic Bauar. literam ρ omisit Morell.

[52] καρτερία] subaudi ἐστι. sic Bav. in nominatiuo, καρτερίαν in accus. dedit Morell.

[53] post ἀπάγεσθαι videtur membrum deesse, e. c. τὰς δὲ (συμφορὰς puta) ἐλεᾶν vel simile quid.

[54] τὸν dedi de meo, pro τῶν B. et M.

[55] αἱρεῖν] venari, aucupari, coniectura assequi, percipere. αἴρειν Mor.

[56] καὶ ποσειδῶνος] hic deesse quaedam, alia corrupta esse, patet, fort sic leg. est καὶ ποσειδῶνος. διὰ μὲν τοιαύτης τὴν ποσειδῶ, διὰ δὲ ἰσοῦ τὴν ἀθηνᾶν.

λέως ἄρη. ταῦτα ποιῶν οὐ γρίφων ἱκανώτερα ψυχὴν ἀκονᾷν; τοιγαροῦν ὅστις ταῦτα ὀξὺς [57], οὐ ῥᾷστος ἐν τοῖς ἄλλοις κλαπῆναι. τὸ δ᾽ αὐτὸ καὶ τοῖς πολλοῖς καὶ τοῖς δεξιωτέροις χρήσιμον. τοὺς μὲν γὰρ ἅπερ οὐκ ἐπίστανται δύναται διδάσκειν. τοὺς δὲ ἅπερ ἴσασιν ἀναμιμνήσκει. καὶ εἴ γε τὴν ἀμβλυτέραν γνώμην ἐν ταῖς πράξεσιν ἀχρηστοτέραν ἡγούμεθα, τήν γε ὑπὸ τῶν ὀρχηστῶν θηγομένην πῶς οὐ φήσομεν ἐπιτήδειον εἶναι πράγμασι χρῆσθαι; βούλει μαθεῖν ὅπως ἰσχύει ψυχὴν λύπῃ βεβαπτισμένην ἀνενεγκεῖν, καὶ ῥᾷς καταστῆσαι, λαβὼν ἄνθρωπον ἐστερημένον ἢ φιλτάτων, ἢ χρημάτων, ἢ περιυβρισμένον, ἢ πεπληγμένον, ἄγε πρὸς τὸ θέατρον, δεῖξόν αὐτῷ [58] δι᾽ ὀρχηστοῦ παλαιὰς βασιλείας καθῃρημένας, καὶ κουφιεῖς. ἀπένεγκαι τὴν διάνοιαν ἀπὸ τῶν τυράννων εἰς κώμους καὶ πανηγύρεις. καὶ τάχα [59] ὄψει τὴν κατήφειαν ἀπιοῦσαν. εἰ δὲ μὴ πᾶσαν, τὸ γοῦν πλέον. ὥστ᾽ οὐ πολὺ τῆς παρὰ τοῦ ῥήτορος τοῖς πενθοῦσι βοηθείας ὀρχηστὴς δεύτερος. ἀλλὰ μὴν εἴ γε τὸ βλέπειν εἰς ἀγάλματα θεῶν σωφρονεστέρους [60] * ἀπεργάζεται [61] τῇ θέᾳ, τὰ πάντων οὗτός σοι δίδωσιν ἐπὶ τῆς σκηνῆς ὁρᾷν οὐκ ἐν λίθῳ μιμούμενος, ἀλλ᾽ ἐν αὐτῷ παριστάς. ὥστε κἂν τὸν ἄκρον ἀγαλματοποιὸν εἶξαι τῶν πρωτείων ὀρχησταῖς ἐν κρίσει τοῦ περὶ ταῦτα κάλλους. ποία γὰρ γραφὴ, τίς λειμὼν ἥδιον [62] ὀρχήσεως καὶ ὀρχηστοῦ θέαμα, περιάγοντος εἰς ἄλση [63]

τὸν

[57] ὅστις ταῦτα ὀξὺς] non improbo. bene graecum est ταῦτα ὀξὺς pro κατὰ ταῦτα, vel εἰς ταῦτα. mallem tamen εἰς hic loci additum esse.

[58] αὐτῷ] dubie exaratum est in Bav. essetne hoc, quod praetuli, an αὐτοῦ, quod est in Morell.

[59] τάχα videtur isto aevo pro ταχέως celeriter, cito, repente, fuisse vsurpatum.

[60] σωφρονεστέρους] sic ♀ et Bav. nisi quod hic super ους etiam ος superscriptum dat h.e. σωφρονέστερος, quod dat Morell.

[61] ἀπεργάζεται] dedi sic de meo pro ὑπεργ. M. et B.

[62] ἥδιον dedi de meo, pro ἡδίων B. et M. redit enim ad θέαμα.

[63] ἄλση] sic ♀ et Bav. ἅλς Morell.

τὸν θεατὴν, καὶ κατακοιμίζοντος ὑπὸ τοῖς δένδρεσιν ἀγέλας βοῶν, αἰπόλια, ποίμνια, καὶ τοὺς νομέας ἱςῶντος ἐπὶ φρουρᾷ τῶν θρεμμάτων, τοὺς μὲν σύριγγι χρωμένους, τοὺς δὲ αὐλοῦντας, ἄλλον ἐν ἄλλοις ἔργοις; τίς δ' οὐκ ἂν ἡμερώτερος εἴη καὶ γυναικὶ καὶ οἰκέταις, δεῖπνον [64] αἰρούμενος ἐπὶ τοιαύτῃ θέᾳ, τῆς ἐκ πράγματος ἡδονῆς ἐνδιαιτωμένης ἐπὶ πλεῖςον τῇ γνώμῃ; ποίοις δ' εἰκὸς ὀνείρασι τὸν ἐκ τούτων ἀναπαυόμενον ὁμιλήσειν; ἐμοὶ μὲν γὰρ δοκεῖ, τοῖς ψυχαγωγίαν ἔχουσι. τίς δ' οὐκ ἂν γέρων καὶ ῥάθυμος, ὁ μὲν τῆς φύσεως, ὁ δὲ τῆς ἡλικίας ἀμείνων εἰς τὸ κινεῖσθαι γένοιτο παρακαλούμενος ὑπὸ τῶν ἐκείνου [65] πηδημάτων; πότερον δὲ τὰς φαιάκων ναῦς ἢ τὰς τούτων ςροφὰς, εὐλογώτερον εἰς τάχος εἰκάσαι νοήματι καὶ πτερῷ; τό γε τοι δι' ἀκριβείας ὀφθῆναι τῶν δρωμένων ἕκαςον ὑπὸ τῆς ὀξύτητος ἡρπάσθη πολλάκις, μεταπίπτοντος εἰς ὅ, τι βούλεται [66] τοῦ σώματος. πρωτεὺς αἰγύπτιος μικροῦ τούτων ἕκαςος. φαίης [67] ἂν αὐτοὺς τῇ ῥάβδῳ τῆς ἀθηνᾶς, ἢ τὴν ἰδέαν τοῦ ὀδυσσέως τρέπει, πάντα φαίνεσθαι, πρεσβύτας, νέους, ταπεινοὺς, ὑψηλοὺς, κατηφεῖς, ἀνειμένους, διακόνους, δεσπότας. τὼ πόδε δὲ κἂν διερευνήσαιτό τις, μὴ περσέως [68] αὐτοῖς ἐνῇ πλεονέκτημα. πότερον δ' ἂν τις ἀγασθείη μειζόνως τὴν τῆς

περι-

[64] δεῖπνον] sic ♀ et Bav. δείπνων Morell.

[65] ἐκείνου] scil. τοῦ ὀρχηςοῦ, quod praecessit. margo Morell. dat γρ. ἐκείνων. quod etiam ferri possit, praesertim ob τούτων insequens, si nempe hoc τούτων ad ὀρχηςῶν refers. ego vero arbitror, posse quoque ad πηδήματα referri.

[66] βούλεται] βούλῃ Bav. et margo Morell. cum γρ. haud male.

[67] φαίης] in secunda persona, ♀ et Bav. φαίη in tertia Morell. *horum vnusquisque parum abest, quin Aegyptius aliquis Proteus sit. φαίης ἂν — dicas eos ferula Mineruae mutatos illa, quae Vlyssem formas in omnes mutauit, nullas non formas induere.*

[68] περσέως] cui pedes alati erant. in pedes saltatorum facile quis inquirat, annon alios homines ipsi quoque superent ea praestantia, qua Perseus alios superabat olim, alis puta.

περιφορᾶς ἐν πλήθει συνέχειαν, ἢ τὴν ἐξαίφνης ἐπὶ τούτῳ [69] πάγιον στάσιν, ἢ τὸν ἐν τῇ στάσει τηρούμενον τύπον. ὡς μὲν γὰρ ὑπόπτεροι περιάγονται, τελευτῶσι δὲ εἰς ἀκίνητον στάσιν, ὥσπερ κεκολλημένοι. μετὰ δὲ τῆς στάσεως ἡ εἰκὼν ἀπαντᾷ. πόνος δὲ μείζων ἕτερος [70] συγκαταλῦσαι τῷ ᾄσματι. τοσοῦτος τοῦ μέτρου λόγος ἐν ὀρχησταῖς, παρ' ὧν [71] ἡ τέρψις ταῖς πόλεσιν ἀμιγὴς κακῶν. παλαιστὴς μέν γε παλαιστὴν ἤδη κατέαξε, καὶ παγκρατιαστὴς ἐν τῷ πόνῳ τὸν ὀφθαλμὸν ἐξεκόπη. καὶ τὸν ἀντίτεχνον ἡνίοχος ἀνατρέψας ἀπώλεσεν. ἵππου δὲ ἤδη φόνος καὶ πόλιν ὅλην διέστησε, καὶ πρὸς λίθους καὶ πῦρ καὶ σφαγὰς προήγαγεν. ὄρχησις δὲ κακὸν οὐδὲν οὔτ' ἔτεκεν, οὔτε μὴ τέκοι. δικαίως. καὶ γὰρ αὐτὴν ἔτεκεν ὁ καιρῶν εἰρηνικώτατός τε καὶ φιλοπαιγμων. ὁ δρέπανα μὲν ἐπὶ βότρυς ἄγων βότρυς δ' ἐπὶ ληνοὺς, ἑορτὴν δὲ ποιῶν τοῦ διονύσου τὸ δῶρον [72]. διόπερ καὶ τοὔνομα τοῖς ὀρχησταῖς ἀπὸ τῶν ἐν ἀρχῇ περὶ τοὺς ὄρχους [73] σκιρτημάτων. ὃ τοίνυν μέγιστον εἰς φιλοτιμίαν τῶν φιλοσόφων

ἐνίοις,

[69] *ἐπὶ τούτῳ*] id est *μετὰ τοῦτο*, scil. *τὸ καὶ πολλάκις καὶ συνεχῶς περιφέρεσθαι.* alias leg. sit *ταύτῃ*, vt redeat ad *περιφορᾶς*.

[70] *ἕτερος*] offendi olim hoc in vocabulo, quod planum est. Sententia haec est. tametsi magnus labor est e citissima rotatione in gyrum corpus subito reuocare ad stationem immobilem, superest tamen adhuc alius labor, isque maior etiam, scil. rotationem corporis ita gubernare et commensurare carmini, vt, carmine desinente, vna quoque statim corpus in orbem circumagi desinat, confestimque insistat.

[71] *παρ' ὧν*] defendi. *a quibus* (pantomimis) *quae proficiscitur voluptas, ea malis et lacrymis inquinata non est.* malim tamen *παρ' ὅν*, *ob quam modi debiti obseruationem.* scil. *λόγον τοῦ μέτρου.* vel *παρ' ὃ quapropter. ex quo fit, vt illa oblectatio luctu careat.*

[72] *τὸ δῶρον*] sic ♀ et Bav. *καὶ δῶρον* Morell.

[73] *ὄρχους*] *vitium ordines*, et deinde *totas vineas.* Egit hoc de vocabulo *ὄρχος*, quod turpi errore Morelius cum *ὄρχεις* permutauit, nescio, quo loco, Salmasius, si bene memini, in notis ad Achillem Tatium.

ἐνίοις, τὸ ταῖς αὐτῶν πατρίσι λῦσαί τινας δυσκολίας, τούτῳ καὶ πριηνεὺς ὀρχηστὴς σεμνύνεται. συνῆν μὲν γὰρ ἀντιόχῳ τῷ βασιλεῖ. πριήνην δὲ ἑλὼν ἐκεῖνος, ᾆσμα ἐκέλευσεν ὀρχεῖσθαι 74. τὸ δὲ ᾆσμα ἦν ἐλευθερία. τοῦ δὲ φήσαντος ἀδικήσειν, εἰ τὰ τοιαῦτα ὀρχοῖτο ἐν δουλευούσῃ τῇ πόλει, ποιεῖ πάλιν ἀντίοχος πριήνην ἐλευθέραν. ταύτην τοίνυν, ἀριστείδη, τὴν δικαιοσύνην καὶ παῤῥησίαν ἐκ διεφθαρμένης ψυχῆς γεγενῆσθαι νομίζεις, ἢ τὸν οὕτω καλὸν καὶ γενναῖον πολίτην, καὶ τὸ τῇ πατρίδι βοηθῆσαι περὶ πλείονος ποιησάμενον τοῦ κολακεῦσαι δυνάστην, * φθορὸν 76 προσερεῖς; οὐκ ἄρα δόξεις ἔξω φιλονεικίας εἶναι.

74 ὀρχεῖσθαι] sic dedi de meo, pro ἐνορχεῖσθαι B. et M.

75 num ἔτι νομίζεις leg. num tu adhuc censes, Aristide — post hanc meam disputationem adhuc es et perseueras in illa tua praua opinione? an in futuro leg. est νομίσεις ob insequens προσερεῖς?

76 φθορον dedi de meo. v. p. 509. 9. ed. Morell. et alibi locorum huius orationis. in Morell. φθορὰν in Bav. φθονερὸν cum lectione, a Morello vulgata, in margine scripta.

LXIV.

LXIV.

ΛΟΓΟΣ ΕΠΙ ΤΩ, ΤΟΥ ΔΗΜΟΣΘΕΝΟΥΣ ΟΝΟΜΑΤΙ ΚΑΤ' ΑΙΣΧΙΝΟΥ ΠΥΛΑΓΟΡΟΥ. [1]

Ὑπόθεσις. οὐκ ἀντεῖπε Φιλίππῳ γινομένῳ ἀμφικτύονι αἰσχίνης μόνος πεμφθεὶς πυλαγόρας, καὶ ἐπανελθὼν κρίνεται δημοσίων ἀδικημάτων.

Οὐκ ἦν, ὡς ἔοικεν, αἰσχίνῃ ἀρκοῦν τούτῳ, πύλας ἀνοῖξαι Φιλίππῳ, καὶ τοσοῦτον ἔθνος αὐτῷ παραδοῦναι τῶν Φωκέων [2], ἀλλ᾽ ὅπως καὶ τῶν ἐν τῇ πυλαίᾳ γένοιτο κύριος, καὶ γένους τῶν παλαιῶν ἀμφικτυόνων ὁ μακεδὼν, πρὸς τῷ προειρημένῳ [3], κατέπραξεν. ἐμοὶ δὲ οὐ τοῦτο φαίνεται θαυμαστὸν, εἴ τι τῶν Φιλίππου βέλτιον ἔχειν οὗτος ἐποίησεν, ἀλλ᾽ ὅτι ῥᾷστον ἐστὶ παρ᾽ ὑμῖν δίκην τε ἀδικοῦντα μὴ δοῦναι καὶ κερδαίνοντα καθ᾽ ὑμῶν αὖθις ἕτερα πιστεύεσθαι παρ᾽ ὑμῶν. καὶ νῦν οὐ τοῦτό ἐστι χαλεπὸν, τὰ μέγιστα ὑπὸ αἰσχίνου δεῖξαι βεβλαμμένην τὴν πόλιν, ἀλλ᾽ ὑμᾶς πεῖσαι μισῆσαι * τοὺς τὰ [4] καθ᾽ ὑμῶν τοῖς ἐχθροῖς ὑπηρετοῦντας. ὁ τοὺς πολλοὺς τῶν δυναμένων καὶ γράφεσθαι

[1] In hac oratione, quae a Morello perquam mendose est edita, codices mspti me destituunt. Quo fit, vt necesse habeam multa lectionis vitia intacta relinquere.

[2] aut τὸ Φωκέων leg. aut τὸ τῶν Φωκέων.

[3] προειρημένῳ] sic correxi Mor. προηρημένῳ.

[4] μισῆσαι τοὺς τὰ] interposui τοὺς de meo. Sed et post τὰ deest quoque adhuc voc. μέγιστα. vt sit μισῆσαι τοὺς τὰ μέγιστα καθ᾽ ὑμῶν τοῖς ἐχθροῖς ὑπηρετηκότας. odisse ciues illos, qui vestram

φεσθαι καὶ διελέγχειν, ὀκνεῖν ποιεῖ. ἐγὼ δὲ βουλοίμην μὲν ἂν ὑμᾶς ἀλγῆσαι τοῖς πεπραγμένοις, καὶ γνώμην ἔχειν, οἵαν εἰκὸς τοὺς τὰ τοιαῦτα πεπονθότας. εἰ δ' οὖν ὑπὸ τοῦ πολλὰ ἐνεγκεῖν ἀδικούμενοι καὶ τοῦτ' οἴσετε, ἀλλ' ἔμοι γε ἔσται τὰ πρὸς τὴν πόλιν δίκαια πεφυλαγμένα. καὶ πάλιν γενήσεται. Φανερὸν, ὡς ὁ παραδοὺς κρίσει τὸν πεπολιτευμένον [5] ἐφάνη, τῇ δὲ τῶν δικαζόντων ὀλιγωρίᾳ τὸ πρᾶγμα διεφθάρη. εἰ μὲν οὖν ἐν τῇ πυλαίᾳ συνέβαινεν εἶναι τὴν παροῦσαν ἐξέτασιν, οὐκ ἂν ἐξ ἴσου λόγος ἐμοί τε καὶ τούτῳ, Φιλίππου τε ἀντὶ Φωκέων δικάζοντος καὶ τῶν ἐκείνου δορυφόρων περιεστηκότων. δῆλον γὰρ ὅτι τοῖς μὲν αἰσχίνου λογοις, καὶ μηδὲν ἔχουσιν ἰσχυρὸν, ὑπῆρχεν ἂν εὐδοκιμεῖν. ἐμοὶ δὲ καὶ πάντων δικαιότατα [6] λέγοντι πανταχόθεν * ἀπήντα [7] ἂν θόρυβος καὶ πολὺς γέλως, εἰ μηδὲ τοσοῦτον ἠδυνήθην ἰδεῖν, ὡς, οὐ κρείττων ἐστιν αἰσχίνης, ἐνταῦθα ἐτόλμησα διώκειν. ἐπεὶ δὲ ἀθήνησι μὲν ἡ κρίσις, εἰσεληλύθατε δὲ κατὰ τοὺς νόμους τοῦ σόλωνος, μέγας δὲ ὁ κίνδυνος τῶν ὅρκων παρορωμένων, ἴσως ἄν τι γένοιτο τῇ πόλει κέρδος ἀπὸ τῆς γραφῆς. ὥστε τῶν ἀμφοτέρων [8] δοῦναι δίκην, καὶ ὧν πρεσβεύων ἔγραψε [9], καὶ ὧν πυλαγορῶν ἐζημίωσε· τοῖς δὲ τοῦτον ἐζηλωκόσι γενέσθαι δῆλον, ὅτι τοῖς παρὰ τῶν πολεμίων λαμβάνουσιν εἰς τὴν ἐσχάτην συμφορὰν ἡ τόλμα ἀπαντᾷ. ὅτι μὲν οὖν ἐσκεμμένος αἰσχίνης, καὶ λόγους μακροὺς καὶ πιθανοὺς μεμελετηκὼς εἰσελήλυθεν, αὐτός τε οὐκ ἀγνοῶ,

vestram in fraudem vestris inimicis maximis et grauissimis in rebus operam nauarunt.

[5] aut e margine Mor. praeferendum est πεπονηρευμένον, aut leg. τὸν κακῶς πεπολιτευμένον.

[6] δικαιότατα] sic margo Mor. nam textum dat δικαιότατον.

[7] ἀπήντα] sic dedi de meo pro ἄπαντα Morell.

[8] ὥστε τῶν ἀμφοτέρων] malim ὥστε τὸν αὐτὸν ἀμφοτέρων.

[9] ἔγραψε] Aeschines enim in literis, quas ad S. P. Q. R. e Macedonia miserat, cum ibi legatione ad Philippum vna cum Demosthene fungeretur, contraria veritati perscripserat.

ἀγωνᾶ, καὶ ὑμᾶς εἰδέναι νομίζω. ᾧ γὰρ περὶ τῆς σωτηρίας ὁ φόβος, καὶ τὰ μὲν πράγματα πονηρὰ, λόγος δὲ ὑπὲρ τούτων ἁπλοῦς οὐδὲ εἷς ἐ, πᾶσα ἀνάγκη τούτῳ, δι' ὧν ἂν γένοιτο παρακρούσασθαι τοὺς δικάζοντας, παρεσκευάσθαι. δεῖ δὲ ὑμᾶς αὐτοὺς, ὅταν τοῦτο ποιῇ, μειζόνως ὀργίζεσθαι, καὶ χαλεπῶς ἔχειν, εἰ τεχνίτης μὲν ὢν τοῦ λέγειν καὶ σοφισμάτων γέμων παντοδαπῶν, πρὸς μὲν τὸν ἐχθρὸν τῆς τε πόλεως καὶ τῶν ἑλλήνων πάντων, μυρίας ἔχων ἀφορμὰς λόγων καλὰς, οὐδὲν οὔτε εἶπεν, οὔτε ἐφθέγξατο, κατὰ δὲ τῶν πολιτῶν χρῆται τῇ τέχνῃ, τοὺς αὐτοὺς ἀδικῶν τε καὶ πείθειν ἐπιχειρῶν ὡς οὐκ ἠδίκηνται. εἴτ' οὖν ἀπορoίη λόγων, ὡς μηδ' ἀναισχυντεῖν * ἔχων [10] διὰ τὴν περιφάνειαν τῶν ἀδικημάτων ἀποθνησκέτω. * εἶθ' [11] ὑπὲρ οὕτω δεινῶν ἀποτείνων λόγους εὖ μεμηχανημένους, πάλιν ἐντεῦθεν [12] ἁλισκέσθω, κρύψας ἐν τῇ πυλαίᾳ τὴν δύναμιν. φεύγει μὲν οὖν αἰσχίνης οὑτοσὶ, καὶ ἡ γραφὴ καθ' ἑνὸς ἀπενήνεκται τοῦ σιγηροῦ πυλαγόρου. διαφεύγετε δὲ οὐδὲ ὑμεῖς, ὦ ἄνδρες δικασταὶ, τὴν αὐτὴν αἰτίαν. ὑμᾶς δ' εἰπὼν, τὸν δῆμον λέγω, οἵτινες ὥσπερ ἐν νυκτὶ καὶ σκότῳ τὴν διάγνωσιν τοῦ ὁπόση πόλις ἑκάστη [13] ἐστι τῶν πολιτῶν ἀφῄρησθε. καὶ ὁ χρηστὸς ἔδοξε κακὸς, καὶ ὁ μοχθηρὸς ἐπιεικὴς, καὶ ὁ δίκαιος πονηρὸς, καὶ ὁ βέλτιστος φαυλότατος. εἶθ' ὁ μὲν οὐκ ἐνοχλῶν ὑμῖν, οὔτ' ἐπιτιμῶν, τάξεως [14] ἀπέρριπται. ὁ δὲ ἰτα-

[10] ἔχων] sic dedi de meo. ἔχειν Mor. *siue igitur* deerunt ei excusationes, capite luat, vt reus tam enormium criminum, vt ne impudenti quidem mendacio quodam ea colorare potuerit.

[11] εἶθ'] sic rursus pro αὖθ' Morell. responsio est, siue oppositum prioris εἴτε — *siue*, — *siue*. deinde post μεμηχανημένους deesse videtur παρῶπτο διαφεύγειν.

[12] ἐντεῦθεν] ex hoc capite, hac sola de causa.

[13] ὁπόση πόλις ἑκάστη] sententia postulat ὁποῖος εἰς τὴν πόλιν ἕκαστός ἐστι τῶν πολιτῶν. qualis, vel quo animo ciuium quisque sit erga ciuitatem.

[14] τάξεως] imo vero ταχέως cito, celeriter.

ἰταμὸς, καὶ θρασὺς καὶ ἀκόντων ὑμῖν ἃ βούλεται ἔξειν [15], ἔντιμος καὶ μέγας, καὶ λαμπρὸς, καὶ τὰ ὑμέτερα πράττει, κἂν τῇ πόλει, κἂν τῇ [16] κρίνεται δὲ ἕκαστος ἐκ μισθοῦ τῶν γραφόντων, [17], οὐκ ἐκ τῶν βεβιωμένων. ἐντεῦθεν οἱ μὲν ἐκ τῶν δημοσίων οἴκων [18], καὶ ὧν τῆς εὐνοίας πλεῖσται μαρτυρίαι, σχεδὸν ἠγνόηνται. τριταγωνισαὶ [19] δὲ καὶ ναῦται καὶ γραφεῖς τυμπάνων λέγουσι, γράφουσι, πρεσβεύουσι, μαρτυροῦσι, πυλαγοροῦσιν. ἡ δ᾽ ἐπὶ τῶν ἐκκλησιῶν ἁμαρτία μικρὸν ὕστερον φαίνεται. καὶ τὸ δεινότατον, οὐδὲ πάσχοντες τοῦτ᾽ ᾔσθεσθε. τεκμήριον δὲ ἐπὶ * Φωκαίας [20], θρηνούντων * ἔτι [21] τῶν ταλαιπώρων διοικιζομένων, καὶ τῶν μὲν φευγόντων, τῶν δὲ σφαττομένων, τῶν δὲ μακεδόνας τρεφόντων, καὶ ὑμῶν ἐν * τούτῳ [22] τὴν αἰτίαν τῶν ἐκεῖ κακῶν ἀνατιθέντων, καὶ βοώντων ἐνίων ἐπ᾽ ἀγορᾶς, ὡς οὐ τὰ ὅπλα Φιλίππου τὰς πόλεις ἀπώλεσεν, ἀλλ᾽ αἱ πείσασαι καθῆσθαι τὸν δῆμον ἐλπίδες, καὶ τὰ ψηφίσματα * τὰ Φωκεῦσιν [23] ἀπει-

[15] ἔξειν] num εἰπεῖν, an ἐρεῖν, an denique ἐξεμεῖν *audax euomere.*

[16] post κἂν τῇ legi in codd. quibusdam πύλει, testatur margo, quod quid sit, haud assequor. sententia postulat κἂν τῇ ἔξω. *et domi et foris.*

[17] τῶν γραφόντων] malim τῶν γραφέντων, in aor. 2. passiui, eorum criminum, quorum reus agitur. prout magna est merces, aut exigua, qua accusati iudicum sententias corrumpunt et redimunt, ita magis minusue, facilius aut difficilius absoluntur illi rei. Si vulgatam γραφόντων seruamus, erit haec sententia: Eorum, qui plebiscita conscribunt (hi sunt οἱ γράφοντες) vnumquemque, quo sit erga vos animo, indicatis e magnitudine mercedis, quo suffragia vestra suis plebiscitis redimit.

[18] δημοσίους οἴκους appellat eas gentes, quae caritate patriae et studio bene de ea merendi libertatemque tuendi inclaruere.

[19] τριταγωνισαὶ pungit Aeschinem, ναῦται Dinarchum, γραφεῖς τυμπάνων fratrem Aeschinis, qui pictor erat.

[20] Φωκαίας] in Phocide. Sic de meo dedi, pro Φωκέας Mor.

[21] ἔτι] hoc quoque meum est, pro ἐπὶ Morell.

[22] τούτῳ] sic in datiuo sing. de meo dedi pro τούτων Mor.

[23] τὰ Φωκεῦσιν] articulum de meo addidi.

ἀπειλοῦντα. τοιαῦτα λεγόντων καὶ πεπεισμένων ἧκεν ὁ τῆς πυλαίας καιρὸς, ἀπαιτῶν ῥήτορος εὔνοιαν. πῶς οὖν ἡμεῖς οἱ πεπληγμένοι; μᾶλλον δὲ μικρὸν ἄνωθεν [24]. Φιλίππῳ πλεονέκτημα μὲν ἐγεγόνει μέγα, καὶ οἷον οὔπω πρόσθεν, ἀφ' οὗ παρῆλθεν εἰς τὴν ἀρχὴν, πυλῶν κρατῆσαι καὶ διαπεῖραι [25] τὸ τῶν εἴσω πυλῶν προβεβλημένον ἔθνος. τοῦτο δὲ δυνηθεὶς ταχὺ καὶ ῥαδίως, ἀπὸ σπονδῶν, οὐχ ὅπλων, διὰ τουτονὶ τὸν πείθοντα πιστεύειν, ἀντὶ τοῦ φυλάττεσθαι, δεύτερον ἕτερον ζητεῖν [26] τοῦ προτέρου μεῖζον ἀντὶ ἀπολογουμένων τῶν ἐν πυλαίᾳ [27] συνδιοικεῖν, καὶ μεταχεῖν τοῦ τῶν ἀμφικτυόνων ὀνόματός τε καὶ σχήματος. Θετταλοὺς μὲν οὖν καί τινας ἑτέρους τῶν πάλαι μεμαθηκότων ἀκαίρως κερδαίνειν. ᾤετο δ' αὐτὸν [28] ὡς ἥδιστα δέξασθαι, καὶ γνησιώτερον Φωκέων ἀμφικτύονα κρίνειν. τῶν δ' ἄλλων τοὺς οὐχ ἡδέως ταῦτα ὁρῶντας στενάζειν μὲν ἡσυχῇ πλὴν ἡμῶν, ἡμᾶς δὲ, ὥσπερ τῆς παρ' ἡμῖν [29] πολιτείας * κινουμένης [30] ἀπαντήσεσθαι καὶ βοήσεσθαι καὶ τὸν ἐπεισιόντα [31] τοῖς ἑλληνικοῖς θεσμοῖς ἀπώσεσθαι. ἵνα δὴ μὴ [32] τοῦτο γένηται, τὸν ἐοικότα Θετταλοῖς ἀθηναῖόν

τε

[24] ἄνωθεν] subaudi ἄρξομαι.

[25] διαπεῖραι] malim διασπεῖραι, aut διαφθεῖραι.

[26] δεύτερον ἕτερον ζητεῖν] leg. videtur δεύτερον ἐζήτει.

[27] ἀντὶ ἀπολογουμένων τῶν ἐν πυλαίᾳ] leg. videtur ἀντὶ ἀπολογουμένων τῶν Φωκέων τὰ ἐν πυλαίᾳ συνδιοικεῖν.

[28] ᾤετο δ' αὐτὸν] (sine δ') ὡς ἥδιστα δέξεσθαι (in futuro) et κρινεῖν et στενάξειν pariter paulo post recte Morellus ἡμῖν. sed etiam κινουμένης leg. per ι in prima syllaba.

[29] παρ' ἡμῖν] sic margo Morell. cum ἴσως παρ' ἡμᾶς Morell. quae sic nude ponam deinceps, nulla addita admonitione de auctore emendationis, ea a me esse correcta scito. nam in hac oratione subsidia codicum defuere.

[30] κινουμένης] κενουμένης Morell.

[31] ἐπεισιόντα] non plane damnabo ἐπεισιόντα. videtur tamen auctor potius dedisse ἐπεισσεύοντα (subaudi, ἑαυτὸν) sese ingerentem, intrudentem in leges graecas et ritus graecos.

[32] μὴ] sic margo Morell. cum ἴσως. textum dat μοι.

τε καὶ [33] ταῦτα χαριζόμενον καὶ τὰ δεύτερα αὐτῷ προθύμως ἀνοίξαντα διαπράττεται παρ' ὑμῶν εἰς πυλαίαν ἐλθεῖν. τοῦτο δ' οὐ πολλῶν πόνων. ἀλλὰ παρελθών τις καὶ πολὺ τοὺς ἄλλους φθάσας· αἰσχίνη [34], φησιν, ἐγχειρίζωμεν τὰ περὶ τὴν πυλαίαν. ἐπήνεσαν οἱ παρεσκευασμένοι. τῶν δ' ἄλλων ὁ μὲν οὐδὲ προσεῖχεν, ὁ δὲ οὐχ ὑπώπτευσεν, ὁ δὲ ἀπελθεῖν ἔσπευδε, τῷ δ' οὐκ ἔμελε [35] τῶν κοινῶν, ὁ δὲ ἀντιλέγων ἠνώχλει [36]. τί δεῖ τὰ πολλὰ λέγειν; ἐχειροτονήθη παρ' ἀθηναίοις τὰ φιλίππῳ δοκοῦντα. καὶ ἐβάδιζεν ἀθήναζε [37] πυλαγόρας χρησιμώτερος ἐκείνῳ πολὺ τοῦ παρμενίωνος. ὁ μὲν γὰρ οὐκ ἂν πεῖσαι ῥᾳδίως, δεσπότῃ χαρίζεσθαι δοκῶν. ὅταν δέ τις ἀπὸ τῶν ἠδικημένων τῷ λελυπηκότι συμπράττῃ, τὰ μέγιστα ὤνησεν ἄν, οὐκ οὔσης ὑποψίας τῶν λόγων. ὡς οὖν ἧκεν οὗτος διὰ φωκέων χαίρων, καὶ τοὺς ἱερομνήμονας καὶ τὸν φίλιππον εἶδε, τοῖς μὲν [38] ὥστεὶ καὶ ἐνεδείξατο δεδοικέναι τὸν ἄνθρωπον, ὅπως, εἴ τις καὶ θαρρῶν ἐτύγχανεν, ἐκπλήττοιτο καὶ συγχωροίη. πρὸς δὲ αὐτὸν διελέγετο καὶ συνέπειθε τὸ [39] τί δεῖ γενέσθαι, καὶ τίς ὁ τούτων μισθός. τοῦ δ', ὡς εἰκὸς, φήσαντος πλουτεῖν, καὶ διδόναι δύνα-

[33] ἀθηναῖόν τε καὶ —] sunt hic nonnulla praua, quae cum emendare haud valeam, satis habeto vitium loci indicare.

[34] αἰσχίνῃ] in datiuo. *age, Aeſchini mandemus.* Αἰσχίνης Morell. ἐγχειρίζωμεν] in coniunctiuo. Sic margo Morell. cum ἴσως. textum dat in indicatiuo.

[35] ἔμελε] uno λ. curae nulli erat reſp. Morelliana λ geminat, ſolito errore.

[36] ἀντιλέγων ἠνώχλει] ſi quis obloqueretur, eum haud ferebant, cum faſtidio audiebant, aſpernabantur et repellebant ve importunum blateronem.

[37] ἀθήναζε] imo vero ἀθήνηθεν.

[38] τοῖς μὲν] iſt eſt πρὸς τοὺς μὲν — ad hieromnemonas quidem, h. e. legatos graecarum ciuitatum ad conuentum amphictyonicum oſtentabat, quam vehementer Philippum extimeſceret; in eaque formidine ſua ſe quaſi iactabat.

[39] συνέπειθε τὸ] malim vno vocabulo συνετίθετο componebat, h. e. collatis cum eo conſiliis clandeſtinis condicebat,

δύναθαι, τὰ λοιπὰ [40] οὕτως, ὡς ἔμελλεν ἐκείνῳ συνοίσειν, συνετίθει. οἱ μὲν οὖν εἰδότες ἀκριβῶς αἰσχίνην, καὶ πρὸ τῶν ψήφων ἀμφικτύονα τὸν φίλιππον ἐκάλουν. ποιήσειν γὰρ τοῦτον, ὃ πεποίηκεν. οἱ δὲ τῷ τῆς πόλεως ἤθει τὸν πυλαγόραν κρίναντες, μάτην, ἔφασκον, οὗτος [δὲ [48]] φίλιππος ἅπτεται τῆς τοῦ συνεδρίου κοινωνίας. ὃ γὰρ οὐκ ἐάσων, οὐδ' ἐπιτρέψων, ἀλλ' ἀντικρούσων, καὶ διακωλύσων τοὺς τῶν ἑλλήνων ἁμαρτάνοντας, πλέονας [42] ἀνὴρ ἀθηναῖος πόλεως ἐλευθέρας, κηδομένης τοῦ γένους, τὸ τῆς ἑλλάδος περιεσταλκούσης ἀξίωμα. ταῦτα εἴκαζον, ἀθηναίῳ μὲν ἀνδρὶ πρέποντα, πόῤῥω δὲ τῆς αἰσχίνου δωροδοκίας, ὡς εὐθὺς * ἐπιδειχθήσεται [43]. καθημένων γὰρ τῶν ἀμφικτυόνων, καὶ τῶν πάλαι καταισχυνάντων αὐτοὺς, θετταλῶν θηβαίων τε, πολλῶν [44] μὲν τὸν φίλιππον ἐπαινεσάντων, πολλῶν δὲ τῶν οὐκέτι ὄντων φωκέων κατηγορησάντων, καὶ τελευταῖον εἰπόντων, ὅτι τούτῳ μέν τοι μεταδοτέον τοῦ συνεδρίου πολὺ βελτίονι φωκέων βασιλεῖ καὶ δικαιοτέρῳ ἐκείνων [45] ψήφους ἔχειν, εἰκὸς μὲν ἦν

er verabredete es mit ihm. quamquam in actiuo verbum hoc sensu est vsitatius, et statim insequitur.

40 τὰ λοιπὰ cohaeret cum συνετίθει. Philippo aiente, vt facile est existimatu, se, qui opibus abundet, largiri posse, reliqua Aeschines cum Philippo ita componebat, vt e re Macedonis erat futurum.

41 δὲ vncis inclusi. possit eius loco ὁ sufficì. quo facta plana erit oratio. Frustra hic Philippus, aiebant, conatur hunc honorem participare. Est prosopoeia Graecorum, bene de Aeschine et de Atheniensibus sperantium, et Philippo infestorum. a voc. μάτην incipit eorum ficta oratio.

42 πλέονας] malim πλησίον, scil. ἐστὶ, prope adest.

43 post ἐπιδειχθήσεται addit Morell. τε quod expunxi, vt perperam ex vltima syllaba verbi enatum.

44 πολλῶν — πολλῶν] pro vtroque malim πολλὰ iteratum. πολλὰ μὲν — πολλὰ δέ.

45 ἐκείνων] multo maiori iure quam illi, Phocenses puta, suffragandi iure potiatur. potest sic accipi locus; et acciperem, si ψῆφον in singulari dixisset. sed cum ψήφους dixerit, legi malim τὰς ἐκείνων ψήφους cum articulo, suffragia eorum

ἣν ἐπὶ τούτοις τὸν ἡμέτερον πυλαγόραν σχετλιάσαι καὶ μαρτύρασθαι μὲν ἥρωας, καλέσαι δ' ἐν πυθοῖ τὸν πύθιον, πάντα δ' ἐμπλῆσαι βοῆς ἐπιτιμῶντα [46], μεμφόμενον, αἰτιώμενον, κλείοντα τὸ συνέδριον τῷ βαρβάρῳ. ὁ δὲ τί ποιεῖ; καὶ * πῶς [47]; τὴν παρ' ὑμῶν χειροτονίαν ἐτίμησεν; εἰπὲ τοῖς δικασταῖς ἀναβὰς, αἰσχίνη, τοὺς λόγους τοὺς ὑπὲρ τοῦ κοινοῦ τῶν ἑλλήνων. οὓς διὰ τῆς σῆς φωνῆς ὁ τῶν ἀθηναίων ἐποιήσατο δῆμος. ἀπορεῖς, καὶ * κύπτεις [48] εἰς γῆν. ἀλλ' οὐ τοῦτό γε ἦν [49] ἀπορία λόγων ἀνδρὶ δικαίῳ καὶ φιλέλληνι καὶ κοσμοῦντι τοὺς ἐκπέμψαντας οἷς προῄρητο [50]. ὁ δὲ πῶς; σιγῶν εἱστήκει τοιούτων ἀκούων, ὦ ἄνδρες ἀθηναῖοι λόγων, ἐφ' οἷς τις ἀνέκραγεν [51]. ἄφωνος ἦς τῆς πυλαίας ἀναρπαζομένης; ἄφωνος τῶν σεμνοτάτων συνταραττομένων; ἄφωνος τοῦ θεσμοῦ ὀρυττομένου [52], καὶ τοσαύτης μέθης ἐπὶ τὸ συνέδριον φερομένης, καὶ τοῦ καθαρωτάτου τῶν ἐν ἕλλησι καλῶν μέλλοντος καταῤῥυπαίνεσθαι μίξει βαρβάρων, ἀθηναῖος ὢν, (εἴ περ ἐστὶ [53],) πυλαγόρας ὢν, κακῶς μὲν, ἀλλ' ἀπεσταλμένος, τὰ συμφέροντα τῆς πόλεως γνώμῃ καὶ φωνῇ σώζειν ταχθεὶς, ὥσπερ ἔξωθέν ποθεν ἐπελθὼν πέρσης, ἢ σκύθης, ᾧ βραχὺς λόγος τῶν παρ' ἡμῖν [54]

ἀναι-

rum habere. h. e. loco ipſorum ſuffragari.

46 ἐπιτιμῶντα] ἐπιμῶντα Morelli operae dederant.

47 καὶ πῶς] ſic dedi pro καί περ quod textum Morelli dat, et γρ. καὶ πῶς margo.

48 κύπτεις] κρύπτεις Morell.

49 poſt ἦν, aut in hac regione, deeſſe videtur nonnihil.

50 προῄρητο] voluntate, animo, ſtudiis ſuis. προείρητο Morell.

51 ἐφ' οἷς τις ἀνέκραγεν] ſaltim ἂν erat addendum. Ego vero cenſeo, Libanium ſic dediſſe: ἐφ' οἷς τις ἂν ἀνέκραγε. *ob quae ecquis alius non clarum exclamaſſet?*

52 ὀρυττομένου] malim διορυττ.

53 ἅπερ ἐστι] parentheſeos ſignis ſunt includenda. nam orator ea de ſuo interiicit in medium, fictum illum a ſe ſermonem Graeci illius in Aeſchinem ſtomachantis.

54 τῶν παρ' ἡμῖν] poſt haec vocabula deeſſe videtur καλῶν aut ὁσίων aut νομίμων, aut tale quid.

ἀνατρεπομένων. οὕτως οὐδὲν οὔτε μικρὸν, οὔτε μεῖζον ἐφθέγξατο, οὔτ' εγρυξεν; ὥσπερ οἰκέτης ἐφεστηκότος δεσπότου καὶ κελεύοντος σιγᾷν. τοσοῦτον, ὦ ἄνδρες ἀθηναῖοι, δύναται χρυσίον δοθὲν, ἢ προσδοκώμενον. ἰσχύσαντος δὴ τοῦ κακῶς φρονοῦντος καὶ διεφθαρμένου μέρους, ἠκολούθηκε καὶ τὸ δυνάμενον, εἴ τις εἴρητο λόγος γενναῖος, μηδὲν τῶν αἰσχρῶν αἰσχύνεσθαι [55]. νῦν δὲ ὁρῶντες τὸν ἐκ μεγίστης καὶ ἐνδοξοτάτης πόλεως ἐφεστηκότα κατὰ φιλίππου, ἐν τῷ συνεδρίῳ τῇ σιωπῇ [56], πολλῆς παρανοίας ἡγοῦντο μείζω ἡμῶν ἀξιοῦν φρονεῖν. γίγνεται [57] φίλιππος ἀμφικτύων ἀντὶ τῶν ἀθλίων φωκέων. καὶ τοῦτο ὠνεῖται παρ' ἐκείνου δεύτερον, μᾶλλον δὲ τρίτον. θράκη, φώκη [58], πυλαία. κἂν ἀφίκησθε εἰς ἐκεῖνον τὸν τόπον, κατὰ τὸν παλαιὸν νόμον, ὄψεσθε τὸν ἀμύντου τὰ τῶν ἑλλήνων διοικοῦντα. οὕτω δὴ διαθεὶς τὸν ἀμφικτύονα [59] αἰσχίνης, καὶ λαμπρότητα χρόνῳ μακρῷ βεβαιωθεῖσαν συγχέας. ἃ μὲν ὑπὲρ τούτων ἔλαβεν, αὐτὸς ἂν εἰδείη. ἀλλὰ δεῦρό

γε

[55] *μηδὲν τῶν αἰσχρῶν αἰσχύνεσθαι*] paret hic aliquid deesse. fortasse sic scripsit Libanius *μηδὲν τῶν αἰσχρῶν προσίεσθαι, ἀλλ' εἰδὼς αἰσχύνεσθαι.*

[56] *τῇ σιωπῇ*] deest aut *χρῆσθαι*, quod Morellus coniecit, aut *αὐτῷ συναγωνιζόμενον*, vel tale quid. cum viderent, qui ex ciuitate amplissima missus ad communem Graeciae conuentum ea mente esset, vt Philippo instaret aduersarius, eum Philippo suo silentio subuenire, et amicam operam nauare: *ἐφίστασθαι* dicitur, qui aliquem ex insidiis circumuenit, et defatigatum ex alto certamine opprimit atque conficit.

[57] post *γίγνεται* videtur *ἂν* vel *δὴ* deesse, aut sic leg. *καὶ οὑτωσὶ γίγνεται.*

[58] *φώκη*] non *φώκη* dicitur, sed aut *φωκὶς* aut *φωκαία.* totum hoc *θράκη, φώκη, πυλαία* delendum est, natum e scholio, quo voluit aliquis declarare, tres illas res, quas orator, ait, Aeschinem Philippo vendidisse. vendiderat enim Thraciam primo loco, tum Phocidem, tandem locum in Pylaea.

[59] *διαθεὶς τὸν ἀμφικτύονα*] his modis cum Aeschines Amphictyonem accepisset, — quam enim iniuriam conuentui Amphictyonico Aeschines fecerat, eam ipsi Amphictyoni, conuentus illius auctori, fecisse, recte poterat videri.

γε ἥκει σεμνότερος γεγονὼς, καὶ τῶν ἀγανακτούντων [60] αἰσθόμενος, οὐ δέδοικε, τῶν τ᾽ ἐπιτηδείων δεδιέναι λεγόντων. (εἰδέναι γὰρ τὸ πεπραγμένον οὐκ ἀνεκτὸν, καταγελᾷ. καὶ τοῦτό γε εἰκότως, ὦ ἄνδρες ἀθηναῖοι, τοιοῦτόν ἐστιν. ὅταν γάρ τις ἐνθάδε ζῶν μὴ τῷ κατὰ τοὺς νόμους ζῆν, ἀλλ᾽ ἐκ τῆς τοῦ τυράννου [61] φιλίας τὴν ἀσφάλειαν ἔχοι, μέχρις ἂν ἐκείνοις εὖ πράττειν ὑπάρχοι, καὶ τούτοις [62] ἔνι θαῤῥεῖν. ποιοῦσι τοίνυν μετ᾽ ἐκείνων, οἷς ὑπηρέτουν, καὶ τὰ αὐτῶν μείζω τῶν νόμων. οὕτω τοίνυν ἐστὶ θρασὺς, ὥστε οὐδὲ φησὶν ἀδικεῖν οὐδὲν ὑμᾶς. οὔτε γὰρ πόλιν σύμμαχον ἡμῶν ἀπεστερηκέναι, οὔτε χώραν, οὔτε λιμένας. οὐ προσόδους, οὐ τεῖχος. ἀλλ᾽ οὐδ᾽ ἐκβεβληκέναι τῆς ἀμφικτυονίας τὴν πόλιν, καὶ ὅλως οὐδὲν [οὐ] [63] τὰ ὑμέτερα ἐλάττω πεποιηκέναι. ἐβουλόμην ἀληθῆ σοι τοῦτον εἶναι τὸν λόγον αἰσχίνη. καὶ μηδὲν χεῖρον ἔχειν τῶν ἡμετέρων ἀπὸ τῆς σῆς πολιτείας. οὕτω γὰρ ἂν ἐσώζετό μοι θρᾴκη καὶ κερσοβλέπτης, σύμμαχος ἀνὴρ καὶ φίλος. ἐσώζοντο δ᾽ ἂν οἱ θηβαίων ἀντίπαλοι φωκεῖς. καὶ πολλὰ τείχη, καὶ ὅπλα, καὶ σώματα, καὶ τόπος μεγάλην φέρων ῥοπήν. νῦν δὲ κἂν τρὶς ἀποθάνῃς, ἔτ᾽ ὀφείλεις δίκην. ἀλλ᾽ ὑπὲρ μὲν ἐκείνων ἐν ταῖς τῆς πρεσβείας εὐθύναις ἐγώ τε ἐξελέγξω, καὶ οἵδε ὀργιοῦνται. ὅτι δὲ νῦν ὀργίζονται κοινῇ τῆς πυλαίας προδεδομένης, πάνυ σαφὴς καὶ βραχὺς ὁ λόγος. μὴ γάρ μοι καταλέγων πλῆθος ἀδικημάτων, ἐφ᾽ οἷς σε οὐκ εἰσήγαγον, δι᾽ ὃ κρίνῃ ἐκλείπῃς [64].

ἀλλ᾽

[60] τῶν ἀγανακτούντων] num τῶν τ᾽ ἐχθρῶν ἀγανακτ.

[61] τοῦ τυράννου] malim τῶν τυράννων. ob insequens ἐκείνοις.

[62] τούτοις] praecessit quidem τις et ζῶν et ἔχοι. recte tamen sequi posse videtur pluralis, quia τις vicem gerit collectiui, seu nominis, multitudinem indicantis. propterea etiam recte ποιοῦσι et alia pluralia insequuntur.

[63] οὐ inutile vncis inclusi. οὐδὲν idem est atque κατ᾽ οὐδέν.

[64] ἐκλείπῃς] imo vero ἐκκλέπτῃς. furtim, clam, sine vllo nostro sensu, nobis eripias, idque eludas, nobis insciis.

ἀλλ᾽ εἰ μὲν οὐκ ἀδίκημα [65] τοῦτο δείξεις, ἀποφεύγοις. εἰ δὲ οὐκ ἂν δύναιο, τί * σοὶ [66] κέρδος, εἰ μὴ πάντας ἀδικεῖς τοὺς τρόπους; οὔτοι γὰρ οὐ τοῦ μὴ κατὰ πάντα ἀδικεῖσθαι χάριν εἰώθασι λέγειν [67] τε καὶ εἰδέναι. τοῦ δὲ τὸ [68] καὶ ὁπωσοῦν ἠδικῆσθαι, δίκην λαμβάνειν, ἐπεὶ καὶ τοῖς εὖ ποιοῦσιν ἴσασιν ἀποδιδόναι χάριν, κἂν ἐξ ἑνὸς εὐεργέται δεικνύωνται τρόπου. εἰ δὲ μὴ ταῦτα οὕτως ἔγνωστο παρὰ πᾶσιν ἀνθρώποις, ἐξῄρητ᾽ ἂν ἐκ τῶν ἀνθρωπείων καὶ τιμωρία καὶ χάρις, οὐκ ἀρκοῦντος οὐδενὸς διὰ παντὸς εἶδους χρηστῶν τε καὶ πονηρῶν ἔργων ἢ εὖ ποιεῖν, ἢ κακῶς. τίς οὖν ἐστιν ὅρος ἀπολογίας δίκαιος; τὸν μὲν αἰτίαν ἔχοντα ἀπεκτονέναι, δεικνύειν, ὡς οὐκ ἀπέκτεινεν, ἤ, ὡς δικαίως. τὸ δὲ προδεδωκέναι, διδάσκειν ὡς οὐ προδέδωκεν. τὸν δὲ πατάξαι, ὡς οὐκ ἔπληξε. τὸν δὲ κλέψαι, ὡς οὐ κέκλοφεν. οὕτω δὴ καὶ περὶ τοῦ παρόντος νῦν πράγματος. ἐπέμφθης, αἰσχίνη, πυλαγόρας. ἦλθες εἰς πυλαίαν. εὗρες εἰσαγόμενον εἰς τὰ ἀπόρρητα τῶν ἑλλήνων ἄνδρα βάρβαρον, παρὰ τοὺς νόμους. ἐσίγησας, γλῶτταν ἔχων, καὶ λέγειν ἐπιστάμενος. τοῦτο φαμὲν ἠδικῆσθαι τὴν πόλιν. οὐκοῦν ταύτην ἔλεγχε τὴν αἰτίαν. τὰ δὲ τείχη καὶ τὰ χωρία καὶ τοὺς λιμένας ἔα νῦν. ἁλίσκῃ γὰρ ἐκ τοῦ τὴν ὑπάρχουσαν τῇ ποτε [69] δόξαν ἀπὸ τῆς σιγῆς [70] ἀπολωλεκέναι. τοῦτο δὲ ὅσου τοῖς ἀθηναίοις ἄξιον, γνοίη τις ἄν, εἰ σκέψαιτο πρὸς αὐτόν, ὅτι καὶ τὸν σῖτον τὴν ἀρχὴν διενείμαμεν, καὶ τὰς ἀποικίας τὰς πολλὰς ἐξεπέμψαμεν, καὶ νεκροὺς ἀδικουμένους

[65] οὐκ ἀδίκημα] fort. ὅτι οὐκ ἀδίκημα scil. ἐστι. Si quidem planum facies hanc iniuriam nullam esse, quam ego aio esse, effugies, vel saluus ex hoc iudicio discedes.

[66] σοὶ] σε Morell. *quid tibi prodest non omnibus te criminibus teneri.*

[67] λέγειν] malim ἔχειν, non enim usurpatur χάριν τινὶ λέγειν pro φάσκειν χάριν τινὶ ἔχειν.

[68] τὸ delendum videtur. aut alias leg. τοῦ δὲ τὸ καὶ τὸ καὶ ὁπωσοῦν ἠδικῆσθαι.

[69] τῇ ποτε] aut τῇ πόλει leg. est, aut τῇ πόλει ποτε.

[70] τῆς σιγῆς] videtur σῆς interponendum.

μένους ἐθάψαμεν, καὶ δυστυχοῦντας ἀνθρώπους ἐδεξάμεθα, καὶ μαραθῶνι τὸν κοινὸν τῶν ἑλλήνων ἐλύσαμεν [71]. οὐχ ἵν' ἡμῖν ἐφ' ἑκάστῳ τούτων παρὰ τῶν εὖ παχόντων ἀργύριον γένοιτο, καὶ πλουτήσειεν ἡ πόλις, ἀλλ' ὅπως ἀκούσαιμεν (τὸ πολλῶν ἐντιμότερον χρημάτων,) πατέρες καὶ τροφεῖς τοῦ γένους, καὶ γένηται τοῖς ποιηταῖς ᾄδειν περὶ τῶν ἀθηνῶν, ἃ δὴ καὶ ἦσαν, ἔρεισμα τῆς ἑλλάδος τὴν πόλιν καλέσαντες. τοῦ τοίνυν [72] ἔρεισμα πῶς οἴοντε τοῦθ' ἡμῖν εἶναι τὸ πρόσρημα τὸ καλὸν καὶ ὑψηλόν, καὶ στεφάνου παντὸς ἀκριβέστερον κηρύττον τὴν ἀρετήν, ὅταν ἐν τοῖς τῶν ἑλλήνων κακοῖς ἡσυχάζωμεν, καὶ παροινουμένων τῶν μεγίστων παρόντες σιωπῶμεν; οὐδεὶς γάρ, ὡς αἰσχίνης ἐσίγησεν, ἐρεῖ, οὐδὲ τοὔνομα ζητήσει τοῦ πυλαγόρου, οὐδ' ἐν τούτῳ στήσει τὴν μέμψιν, ἀλλ' ἐπὶ τὴν πόλιν ἀνοίσει τὴν τοῦ πεμφθέντος κακίαν. ὥσπερ, οἶμαι, καὶ τὰς τῶν ἀγαθόν τι ποιούντων ἀρετὰς κοινὰς ὀνομάζουσι τῆς πόλεως. οἷον, τἀριστείδου, τὰ κόνωνος, τὰ θεμιστοκλέους, οὐκοῦν καὶ νῦν ἀθηναῖοι φίλιππον ὁρῶντες ἀμφικτύονα γενόμενον, παρεῖσαν, εἰσεδέξαντο, τοὺς εἰσάγοντας εὐφρονεῖν ἡγοῦντο. κοῦφον δὲ [73]. εἰ γὰρ καὶ οὐδεμίαν εἶχον τῇ πόλει βλάβην τὸ πεπραγμένον, ἀλλ' ἄλλους, αἰσχίνη, μειζόνως λυπεῖ. οἷον, θετταλοὺς τὸ μὴ λαβεῖν. ὥσπερ, οἶμαι, καὶ ἀθηναίους τὸ περὶ δόξαν ζημιοῦσθαι. μετριώτερος ἂν ἦσθα καὶ νῦν [74] χωρία καὶ λιμένας προδούς. τὸ μὲν γὰρ ἄριστον, μήθ' οὕτως, μήτ' ἐκείνως, μήθ' ὅλως ἀδικεῖν τὴν ἐνεγκοῦσαν. εἰ δὴ φύ-

σις

71 ἐλύσαμεν] hic deesse videtur κίνδυνον.

72 τοῦ τοίνυν etc.] videtur sic leg. τοῦτο τοίνυν πῶς οἷόν τέ ποθ' ἡμῖν εἶναι. aut sic. ποῦ τοίνυν ἔρεισμα; πῶς οἴοντε τοῦθ' ἡμῖν.

73 κοῦφον δὲ —] locus corruptus. num sic concinnandus? κοῦφον δὲ (δεῖ γὰρ εἰπεῖν, ὁμολογεῖν vel θῶμεν γάρ) καὶ οὐδεμίαν εἶχον τῇ πόλει βλ. τ. π. est obiectio, quam statim refutant ista, ἀλλ' ἄλλους ἄλλα, αἰσχίνη, κ. λ. verum alios alia acerbius pungunt.

74 καὶ νῦν] f. μετριώτερος ἂν ἦσθα, αἰσχύνη χωρία. aut pro καὶ νῦν leg. τάχα καὶ χωρία, aut ναῦς καὶ χωρία.

σις[75] ὅσα πονηρὸν καθέλκεται, καὶ οὐκ ἂν ὁ μοχθηρὸς δύναιτο σωφρονεῖν, εἰς τὰ ἄλλα βλεπέτω, τῆς δόξης ἀπεχόμενος. ἐγὼ δὲ τοσοῦτ' ἀφέστηκα τοῦ πράττειν[76] ἂν τὰ νῦν ἐνεγκεῖν διὰ τὸ μὴ περὶ τὰ ἄλλα βεβλάφθαι τὴν πόλιν, ὥστ' οὐδ' εἰ κτησάμενος ἡμῖν μετὰ τῆς παρούσης ἀδοξίας χώραν καὶ συμμάχους καὶ προσόδους ἐτύγχανεν αἰσχίνης, οὐδ' οὕτως ἂν ἧττον ἐφ' οἷς * ἠδικούμεθα[77], ὀργιζοίμην. καὶ ταῦτα δεδίδαγμαι παρὰ τῶν νόμων οὓς οἱ ἡμέτεροι πατέρες ἔθηκαν, οὐ γράψαντες, ὥσπερ ὁ σόλων καὶ ὁ δράκων, ἀλλὰ πράξαντες καὶ παραδόντες ἡμῖν τὰ ἔργα μιμεῖσθαι. πάντα μὲν οὖν διεξιέναι τῶν ἀμηχάνων. οὗ δὲ[78] οὐδεὶς * χρόνος ἐπιλαθέσθαι ποιήσειεν[79]. ἧκεν ἄγων ποτὲ τὴν ἀσίαν, καὶ τῆς εὐρώπης τὸ πλέον ἐφ' ἡμᾶς ὁ πέρσης. ὡς δὲ πολλοῖς ὀλίγους, καταχώσας τοὺς λακεδαιμονίων ἐν πύλαις, ἤλαυνεν ἐπὶ τὴν χώραν, τὴν μὲν γῆν ἀφεῖσαν οἱ τότε ἀθηναῖοι, τὴν θάλασσαν δὲ ἀντὶ[80] τῆς πόλεως εἶχον. ὁ δέ, ὧν κατέσκαπτε τὴν πόλιν, τούτων ἡττᾶτο ναυμαχῶν. οἰόμενος δὲ αὐτοὺς μάχῃ μὲν οὐκ ἂν ἁλῶναι, δῶρ' ἔτ' ἂν ἴσως[81], ἕτοιμος ἦν τὰ μὲν δοῦναι, τὰ δὲ ἀποδοῦναι. ἀποδοῦναι μὲν γῆν καὶ πόλιν, δοῦναι δὲ χρήματα ἀμύθητα, καὶ τὸ ἄρχειν ἑλλήνων, καὶ φίλῳ χρήσασθαι τῷ ἀσίας δεσπότῃ. πῶς οὖν οἱ τότε ταῦτα ἀκούσαντες[82]; πάντα ἡγοῦντο βλάβην, καὶ οὐκ ἐδέχοντο[83] τὰ αὐτῶν οὕτω κομίσασθαι,

μει-

[75] εἰ δὴ φύσις] lego εἰ δ' ἡ φύσις, ὅσα πονηρά, πρὸς τὸ πονηρὸν καθέλκηται.

[76] πράττειν] imo vero πόῤῥω.

[77] ἐφ' οἷς ἠδικούμεθα, ὀργιζοίμην.] sic dedi de meo ἐφ' οἷς ἠδικούμεθα ὀργιζόμενοι. Morell. et in margine γρ. ὀργιζοίμεν.

[78] οὗ δὲ] diuisi vocabulum, in Morell. perperam coalitum in οὐδέ.

[79] ποιήσειεν] subaudi τούτου μνησθήσομαι aut τοῦτο διέξειμι.

[80] ἀντὶ] αὐτὴν Morell.

[81] δῶρ' ἔτ' ἂν ἴσως] aut δώροις δὲ πάντως leg. aut δώροις δέ γ' ἂν ἴσως.

[82] ἀκούσαντες] scil. ἐποίουν. quomodo se his auditis gesserunt? respondet πάντα —

[83] ἐδέχοντο τὰ] videtur τὸ interponendum, ad hunc modum. καὶ οὐκ ἐδέχοντο vt repudiabant oblatas conditiones, τὸ

μεῖζον εἰς συμφορὰν ἡγούμενοι τὸ τὸν ἅπαντα χρόνον ἐπὶ τῶν τριηρῶν σαλεύειν. οὕτω πανταχοῦ τὸ καλὸν πρὸ τοῦ κέρδους ἐδίωκον, αἰσχίνη. δεῖ δὲ καὶ ἡμᾶς νῦν ὑπὸ σοῦ φανῆναι μηδὲν εἰς τοῦτο βεβλαμμένους. ἀλλ' οὐκ ἂν δύναιο. δικαίως ἄρα εἰσαγγέλλῃ. φέρε δὴ καὶ αὐτῶν, ὧν οὐδέν φησιν εἰργάσθαι * κακῶν [85], πᾶσιν αὐτὸν ἐχόμενον [86] δείξωμεν. ὅτι μὲν οὖν καὶ χωρία καὶ πόλεις καὶ ὅρμους καὶ χρήματα καὶ αἰχμαλώτους καὶ πολλὰ ἕτερα προείληφε [87] τῆς πόλεως Φίλιππος, ὃς εἰς τοῦθ' ἧκεν ὕβρεως, ὥστε καὶ τριήρεις ἀπὸ τοῦ μαραθῶνος * ἀφέλκειν [88], οὐδεὶς ἀγνοεῖ τῶν πάντων. ὅτι δὲ * τῷ μετασχεῖν [89] τῆς ἀμφικτυονίας ἧττον ἂν ἐῴη καθ' ἑαυτοῦ κινεῖσθαι τοὺς ἕλληνας παρών τε καὶ συγκαθήμενος, καὶ τὰ μὲν πείθων, τὰ δὲ ἀπειλῶν, τὰ δὲ ὑπισχνούμενος, οὐδὲ τοῦτο ἀμφισβητήσιμον. ὁ τοίνυν ὧν ἂν ἐξέπεσεν, εἰ μὴ τοῦ τελευταίου τετυχήκει, ταῦθ' ὅπως αὐτῷ βέβαια μένοι παρασκευάσας, πῶς οὐκ ἂν εἴη πολλὰ χωρία καὶ πολλοὺς ἡμᾶς ἀπεστερηκὼς τόπους. καὶ γὰρ * ἐκεῖναι [90] νομίζοιτ' ἂν εἰκότως δεδωκέναι τὰ μεταστάντα ἂν ὡς

τὸ τὰ αὐτῶν οὕτω κομίζεσθαι μεῖζον εἰς συμφορὰν ἡγούμενοι, ἢ τὸ τὸν ἅπ. χρ. — ideo quod exiſtimarent, ſua ſi hoc pacto recuperarent, id maius ſibi infortunium fore, quam ſi omne per aeuum neceſſe habeant in triremibus extorres haerere incerta cum ſpe, aut alias pro τὸ ſecundo leg. erit τοῦ.

[84] οὐκ ἂν δύναιο] videtur hic κέρδους ἀπέχεσθαι vel tale quid deeſſe.

[85] κακῶν] κακὸν Morell.

[86] ἐχόμενον] imo vero ἐνεχόμενον. De πᾶσιν an τοῖς πᾶσιν adhuc ambigo.

[87] προείληφε τ. π. Φίλιππος, ὃν εἰς τοῦθ'] videtur leg. προειληφὼς Φίλιππος εἰς τοῦθ' — aut ſi προείληφε manet, pro ὃς, quod manifeſte e fine nominis Philippi iteratum eſt, καὶ malim.

[88] ἀφέλκειν] ἐφέλκειν Mor.

[89] τῷ μετασχεῖν] ſic dedi pro τὸ μ. Morell. per communionem ſuam Amphictyoniae, ſeu, eo, quod iura et honores conſeſſus Amphictyonici participet, non paſſurus ſit Graecos in ſe inſurgere.

[90] ἐκεῖνα] ἐκεῖνο Morell. ſed pluralem requirit inſequens τὰ μεταστάντα, et μένοντα.

ὑμᾶς καὶ ὑμῶν ἀφεῖσθαι [91] τὰ παρ᾽ ἐκείνῳ μενῦντα. ὁ τοίνυν ἡ βλάβη μόνον τῦ παρελθόντος χρόνυ [92], ὐδὲ τοσῦτον [93] κεκέρδακε Φίλιππος, ὅσον μηκέτι φοβεῖσθαι περὶ ὧν ἀδικῶν ἐκτήσατο. ἀλλὰ ταῦτ᾽ ὄντα [94] μὲν αὐτῷ διατηρήσει, καὶ διὰ τῆς καλῆς τῦ συνεδρίυ μετυσίας, ἔτ᾽ ἀσθενέςερος ἔςαι καὶ μείζων, τὰ μὲν ὅπλα καὶ μηχανὰς ἐπάγων τοῖς * ὕπω [95] κατεςραμμένοις. τὺς δ᾽ ἐν τῇ πυλαίᾳ κατ᾽ αὐτῦ τὺς [96] παροξύνοντας ὐχ * ἕξων [97]. βασιλεὺς γὰρ καὶ τύραννος πανταχῦ φοβερόν. ὐ ςρατεύων μονον, ἀλλὰ καὶ δικάζων καὶ βυλευόμενος. τίς δὲ τῶν ἀδικυμένων ὠδύρετ᾽ ἂν [98] ἃ πέπονθε, ψήφυς ἔχοντος Φιλίππυ, καὶ κολακευομένυ, καὶ πείθοντος ἃ βύλοιτο τὸ κοινόν. τὸν ὖν, οἷς ἔχει μὲν, ὐκ * ἀγαπήσοντα [99], ἀεὶ δὲ τινος ἐπιθυμήσοντα, σιγᾶν δὲ τὺς παθόντας ἀναγκάσοντα, φῶμεν εἰληφέναι τι παρὰ τῦ κακῶς σεσιγηκότος αἰχίνυ, ἢ μή; εἰώθαμεν πρέσβεις πέμπειν, ὧν ἄνδρες ἀθηναῖοι, καὶ καταβοᾶν Φιλίππυ, καὶ τῦτο ὐκ ὀλιγάκις ὠφέλησε τὴν πόλιν, πρεσβεία, λόγοι, καὶ κατηγορίαι, καὶ τὸ ἀνεγέρθητε, καὶ τὸ, μόνος ἐκεῖνος τῶν ἑλλήνων ἐχθρός. οἴεσθε ὖν ἐξεῖναι τοιαῦτα πρεσβεύεσθαι; ὐκέτι. τίς γὰρ ἀνέξεται; τίς προσέξει; ὐκ αἴνιγμα [100] τὸ πρᾶγμα ἡγή-

μι, καὶ πάνθ᾽ ὅσ᾽ ἄπεστι [10]. καὶ κατὰ τῶν ὑπτίων, τῶν μὲν πληγαὶ, τῶν δὲ ῥήματα σκύτους πικρότερα. πόσῳ δικαιότερον καὶ ἀνθρωπινώτερον, ἀλλαχοῦ ζητεῖν τὴν τοῦ πράγματος αἰτίαν, ἢ τὸν οὐδὲν ἀδικοῦντα συκοφαντεῖν; ἐπεὶ δὲ ὑμεῖς ἐν μέσῳ κείμενον τὸ τούτων αἴτιον ἰδεῖν οὐ βούλεσθε, νῦν ὄψεσθε, δεικνῦντος ἐμοῦ. μεγάλη τῶν καιρῶν ἐφ᾽ ἑκάστου τῶν πραγμάτων ἡ ῥοπή· καὶ μετὰ μὲν τούτων καὶ ταχὺ καὶ καλῶς ἅπαντα γένοιτ᾽ ἄν· εἰ δὲ ἀντικρούσαιεν, μάταιος τοῖς ἐπιχειροῦσιν ἡ σπουδή. τί γὰρ ἢ πλέουσιν ἀγαθὸν ἐναντιουμένων πνευμάτων; ἢ σπείρουσι γῆν νοσούντων ἀέρων; καὶ στρατηγῷ γενναῖος ὁ καιρὸς σύμμαχος, καὶ ἰατρῷ, καὶ πρεσβευτῇ, καὶ πᾶσιν ἁπλῶς ἔργοις τε, καὶ ἐπιτηδεύμασι; καιρὸς δὲ, οἷος οὔπω πρότερον, φησὶν ὁ Θουκυδίδης, κινῶν ἐπὶ τὴν ἀττικὴν λακαιδαιμονίους. ἐγὼ δὲ εἰς ἀκαιρίαν τινὰ δεινὴν ἀνέβην [11], ὠθούσης ἀνάγκης· ἣν οὖν [12] καιρὸς λέγειν· τίνα δὴ λέγεις ἀκαιρίαν; ἐρήσεταί τις. κωνστάντιον καὶ τὴν ἐκείνου βασιλείαν, ὃς παρὰ τοῦ πατρὸς σπινθῆρα κακῶν [13] δεξάμενος, εἰς φλόγα πολλὴν τὸ πρᾶγμα προήγαγεν. ὁ μὲν [14] γὰρ ἐγύμνωσε τοῦ πλούτου τοὺς θεοὺς· ὁ δὲ καὶ [15] κατέσκαψε τοὺς ναοὺς, καὶ πάντα ἱερὸν ἐξαλείψας νόμον, ἔδωκεν αὐτὸν, οἷς ἴσμεν. ἐκ τῶν ὧν δεῖ [16]

τὴν

[10] f. καὶ πάντοσε πέταμαι. quoquo volo, h. e. oculos quaquaverſum circumfero, et vbique adſum, vbi video diſcipulos ſegnes aut maleferiatos, et perperam agentes. aut καὶ πάνθ᾽ (id eſt πάντα) ὅσα παρεσκεύασαι κατὰ τῶν ὑπτίων. et omnia, quae comparata ſunt in ſegnes et ſupinos (ſcil. praeſidia correctionis) in hos verbera, in alios conuitia et probra ſcutica acerbiora, ſubaudi πάρεστι, vel ἐνεργά ἐστι vſu veniunt, a me vſurpantur. in marg. Bav. eſt παρίεσι et in marg. Mor. ἴσ. ἔνεστι.

[11] ἐνέβην. v. dicta ad Polybium p. 206, 13.

[12] οὖν] ſic Bav. οὐ νῦν Mor.

[13] ſignificat defectionem a ſacris paganis, et tranſitum ad Chriſtiana.

[14] ὁ μὲν] Conſtantinus. ὁ δὲ] Conſtantius.

[15] καὶ] add. Bav. deeſt Mor.

[16] ἐκ τῶν ὧν δεῖ] videtur ex his effici debere ἐκτείνων δὲ extendens autem τὴν θεῶν ἀπὸ τῶν ἱερῶν deorum contemtum a tem-

τὴν ἀπὸ τῶν ἱερῶν ἐπὶ τοὺς λόγους ἀτιμίαν, εἰκότως. οἰκεῖα γάρ, οἶμαι, καὶ συγγενῆ ταῦτα ἀμφότερα, ἱερὰ καὶ λόγοι, καὶ φιλοσόφοις μὲν καὶ σοφισταῖς, καὶ ὅσοι τῆς πρὸς τὸν ἑρμῆν τε καὶ μούσας τελετῆς· καὶ εἰς τὸ βασίλειον [17], καὶ οὐδένα πώποτε τούτων οὐκ ἐκάλεσεν, οὐκ οἶδεν [18], οὐκ ἐπῄνεσεν, οὐκ εἶπέ τι πρὸς αὐτοὺς, οὐκ ἤκουσε φθεγξαμένων· ἠγάπα δὲ, καὶ περὶ αὐτὸν εἶχε, καὶ συμβούλους, καὶ διδασκάλους ἐποιεῖτο βαρβάρους ἀνθρώπους, ὀλέθρους τινὰς εὐνούχους, οἷς ἀφεστήκει [19] τῶν τῆς βασιλείας ἔργων· αὐτὸς δὲ τοὔνομα παρεῖχε· καὶ ἡ μὲν ἐσθὴς ἐκείνου, ἡ δὲ ἐξουσία τούτων· οἱ δὲ τὴν μὲν τῶν λόγων παίδευσιν ἤλαυνον, πάντα τρόπον μικροὺς ποιοῦντες τοὺς ἐκείνης μετειληφότας· ἀλλήλοις διακελευόμενοι σκοπεῖν, ὅπως μηδεὶς σοφὸς λάθοι φίλος ἐκείνῳ γενόμενος· εἰσῆγον δὲ τοῖς θεοῖς ἐχθροὺς [20], τοὺς περὶ τοὺς τάφους [21], ὧν τὸ σεμνὸν, διατῦραι τὸν ἥλιον, καὶ τὸν δία, καὶ τοὺς σὺν ἐκείνῳ ἄρχοντας· καὶ πάλιν ἀπῆγον [22] εἰς τάξιν [23] τοὺς ὑπογραφέας, οἳ τῶν ἑαυτῶν οἰκετῶν οὐδὲν ἦσαν ἀμείνους, οὔτε τὰς ψυχὰς, οὔτε τὰς χεῖρας· εἰσὶ δὲ οἱ καὶ χεῖρους, οἱ μὲν θάτερον, οἱ δὲ καὶ ἀμφότερα· καὶ ἡ μεταβολὴ μάλα ὀξεῖα· ὁ τοῦ μαγείρου παῖς, ὁ τοῦ γναφέως, ὁ περιτρέχων ἐν στενωποῖς· ὁ τρυφὴν ἡγούμενος, τὸ μὴ πεινῆσαι, οὗτος ἐξαίφνης ἐφ᾽ ἵππου λαμπροῦ λαμπρὸς, καὶ ὀφρὺς ἠρμένη, καὶ πλῆθος ἀπολούθων, οἰκία μεγάλη, γῆ πολλὴ, κόλακες, συμπόσια, χρυσός· καὶ

εἰ

a templis ad literas; et id recte quidem atque consentanee —

[17] f. τελετῆς, ἔκλεισε τὴν πάροδον εἰς τὸ βασίλειον.

[18] ᾖδεν] Bav.

[19] ἀφεστήκει] recte dat Bav. et margo. quibus concesserat de muniis imperii, seu quibus munia imperii transmiserat. v. Valef. ad Amm. p. 192. ἔφασ. Mor.

[20] δὲ τοὺς ἐχθροὺς τοὺς θεοῖς ἐχθροὺς, Bav.

[21] τοὺς τάφους] ita per contemtum et opprobrii ... ap- pellat ecclesias Ch... ...tianas. quo de vsu h. v. ...alesius ad Ammian. ...326. egit, vbi etiam h...c locum attingit.

[22] ἴσ. ἀνῆγον m. Mor.

εἴ τις ἄρα καὶ ῥητόρων ἀρχῆς μετέλαβέ τινος, τούτων διδόντων, μισθὸν κολακείας ἔλαβεν· οἷς, εἴπερ ἐσωφρόνουν, βέλτιον ἦν γενέσθαι ἔτι ταπεινοτέρους, ἢ δι' ἐκείνων ἀρθῆναι. οἱ δὲ κατάπτυστοι καὶ μεθύοντες εὐνοῦχοι, πρὸς τοσοῦτον ἧκον ἀσελγείας· καὶ οὕτως ἐξύβρισαν, ὥστε τοὺς ὑπογραφέας ἄγοντες εἰς τὸν τῶν ὑπάρχων ἐγκαθίζουσι θρόνον. καὶ ὁ καλὸς κωνστάντιος ἔχαιρεν, ὡς δὴ καλῶς εὑρὼν τὸν μόνον στάσαντα τὰ πράγματα· τοῦτ' οὖν ὁρῶντας τοὺς ἐν τοῖς διδασκαλείοις νέους, οὐκ οἴει πρὸς αὐτοὺς εἰρηκέναι πολλάκις; τί δέ μοι κέρδος τῶν μυρίων τουτωνὶ πόνων, μεθ' ὧν ἀνάγκη διὰ πολλῶν μὲν ποιητῶν [24] ἀφικέσθαι· πολλῶν δὲ ῥητόρων καὶ παντοδαπῶν ἑτέρων συγγραμμάτων· εἰ τέλος ἔσται τῶν ἱδρώτων, αὐτὸν μὲν ἄτιμον περιφοιτᾶν· ἕτερον δὲ εὐδαιμονεῖν; καὶ τί λέγω τοὺς νέους; οἱ τούτων πατέρες ἀπὸ τοιούτων λογισμῶν, ἄνδρες ἐν λόγοις πεπονηκότες, μίξαντες ταῦτα [25] ἐκείνοις, τοὺς αὐτῶν υἱεῖς ἔτρεφον· αἰσχυνόμενοι μὲν τὸ κάλλος τῶν λόγων· ὁρῶντες δὲ τὴν ἐν θατέρῳ ῥώμην· οὗτοί τε οὖν εἰς ἐκεῖνα διὰ τούτων ἐζημιοῦντο, καὶ τοὺς ἄλλους εἰς ἀθυμίαν ἦγον· ὡς οὐκ ἀποχρώντων εἰς εὐδαιμονίαν τῶν λόγων. ἴδοι δ' ἄν τις ἀκριβέστερον τὴν ἀπὸ τοῦ καιροῦ λύμην· εἰ σκέψαιτο τοὺς ἀθήνηθεν στρατιώτας [26]. μετὰ γὰρ τὸν τρίβωνα [27], καὶ τὸ λύκειον, καὶ λόγους, καὶ προλόγους, καὶ νὴ δία γε ἀριστοτέλην [28], ἀναζυγεὶς καὶ ζωστὴρ ὁ τῶν διακό-

[23] εἰς τάξιν] in ordinem, amplissimum puta, seu Senatum Romanum et CPtanum.

[24] ποιητῶν] sic ☿ et Bav. τοιούτων Mor.

[25] ταῦτα] latina, aut etiam ius Ro[illegible]num, quod per contemtum at[illegible] scribarum vel commentariensi[illegible] appellat. ἐκείνοις] graecis literis, et seueris eloquentiae studiis.

[26] designat adolescentes, qui, post finita Athenis literarum studia, CPlin proficiscebantur, et ibi donis et gratia perficiebant, vt palatinae militiae cingulo ornarentur.

[27] τρίβων seu pallium philosophicum erat insigne hominum, qui literarum studiis sese dedidissent.

[28] ergone iam ea aetate Aristoteles tanta florebat auctoritate, vt in scholis traderetur eius

διακόνων [29] ταῖς βασιλέως ἐπιστολαῖς, ἃς ἐκ βασιλέων [30] ἀνάγκη φέρεσθαι πανταχοῖ τῆς γῆς. τοῦτο δὴ τὸ κακὸν τὸ καὶ τῶν ἀθηναίων ἀψάμενον, σφοδρότερον ἥπτετο τῶν ἐμοὶ συνόντων [31], καὶ μειζόνως ἔβλαπτε. διότι οὐκ ἴσον ἦν οὐδὲ παραπλήσιον ἐν αἰγύπτῳ τε καὶ παλαιστίνῃ, καὶ ἀθήνησι παιδεύειν, καὶ οὔπερ [32] ἐγώ· ποῦ γὰρ ἴσον ἀκούειν τὴν τῶν ὑπογραφέων εὐτυχίαν, καὶ παρόντας ὁρᾶν; καὶ διηγουμένων ἀκροᾶσθαι τὰς λαμπρὰς [33] εἰσόδους καὶ ἐξόδους· τὰς μὲν ἕωθεν, τὰς δὲ δείλης, καὶ αὐτοὺς εἶναι τῶν διηγεῖσθαι δυναμένων; οὐκοῦν τὸ μὲν [34] ἐκείνων ἦν τῶν διεστηκότων, ὃ τὴν βλάβην εἶχεν ἐλάττω; τὸ δὲ [35] ἐν ταῖς τρισὶ πόλεσιν ὁμοίως, τῇ κωνσαντίνου, τῇ νικομήδους, τῇ ἀντιόχου [36]· τοῦτο δὴ μέγιστον ἠναντίωταί μοι, καὶ τὰς ὁρμὰς τῶν νέων ἀπήμβλυνε, τὸ μὴ κεῖσθαι τῶν πόνων ἆθλα πείθοντα φέρειν τὴν ταλαιπωρίαν· τὸ λέγειν, ποῦ πλάτων [37]; ἦ-

eius! philoſophia? Eſt quidem ſententia vulgaris, eius philoſophiam nonniſi ſaeculo XIV. circiter coepiſſe inclareſcere. *ibid.* braccae et cingulum erant inſigne militiae.

[29] τῶν διακόνων h. l. accipi debet pro διακονούντων.

[30] ἐκ βασιλέων ſi dictum eſt pro παρὰ τῶν βασιλέων, paulo eſt durius. videtur potius leg. eſſe ἐκ τῶν βασιλείων, e comitatu, ſeu palatio principis.

[31] συνόντων] ſic dedi. συνιόντων Mor.

[32] οὔπερ] deſignat CPlin, Nicomediam et Antiochiam, quas cum ludis literariis in Aegypto, et Palaeſtina et Athenis comparat.

[33] λαμπρὰς] ſic ♀ et Bav. λαμπρῶς Mor.

[34] τὸ μὲν] ſcil. ἀκροᾶσθαι διηγουμένων.

[35] τὸ δὲ] ſcil. τὸ αὐτοὺς εἶναι τῶν διηγουμένων. quos hic appellat τοὺς διεστηκότας, ſunt homines prouinciales procul ab vrbe regia degentes, adeoque ignari morum curiae, et minus a malis curiae afflati.

[36] ἴσ. ἐκ βάν· m. Mor.

[37] et hoc, quod neceſſe nunc habent magiſtri diſcipulos interrogare: vbinam eſt Plato? (h. e. magiſtri eo ſe redactos vident, vt neceſſe habeant, tironum ſuorum deſidiam in verſandis vetuſtis graecis auctoribus increpare, qui vix tenent, vbi Plato, vbi Homerus, vbi Demoſthenes in ſuis forulis iaceat, puluere obſitus.) atqui teneremus ſententias Platonis, et omnem eius ſapientiam mente concluſam haberemus, ſi

ᾔδειμεν [38] δ' [39] ἂν ὅ φησι, καὶ μὴ λέγοντος. ἀσκεῖται δὲ [40] τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. εἰ μὲν τοίνυν τῶν τετιμημένων ἦν ὑπὸ κωνσταντίου [41] τὸ χρῆμα τῶν λόγων, καιρῷ καλῷ κακῶς ὁ διδάσκαλος κέχρηται [42]. εἰ δ' οὐδεὶς ἐκείνῳ τῶν σοφωτέρων [43] φίλος, οὐδ' οἱ λέγοντες· ἀλλ' οἱ λέγοντος [44] ἑτέρου γράφειν ὀξεῖς, τῶν μεγίστων ἐτύγχανον· τί θαυμαστὸν, εἰ νάρκη τις πρὸς τοὺς λόγους κατεῖχε τοὺς νέους; τοῦτο δὴ τὸ κακὸν, καὶ ταύτην τὴν νεφέλην λύει μὲν ὁ ἰουλιανὸς ὁ βασιλεὺς, ὁ φέρων ὁμοῦ ταῖν χεροῖν ὅπλα καὶ βιβλία, καὶ ταῖς πολλαῖς καμήλοις φορτία ταῦτα ἀναθεὶς, οὐκ οἶνον καὶ μῦρον, καὶ στρώματα μαλακὰ, καὶ ἃ τῷ προτέρῳ πλεῖστα εἵπετο, καὶ ἦν ὁ πόνος τοῖς νέοις τῆς ῥαθυμίας ἡδίων· ὥσπερ τοῖς ἀχαιοῖς ὁ πόλεμος τοῦ πλοῦ μετὰ τὴν ὁρμὴν, ἣν ἐδέξαντο παρὰ τῆς ἀθηνᾶς· ἀλλὰ ταύτην δὴ τὴν ἐπανόρθωσιν βραχεῖαν ἐποίησεν ἄδικος ἐν περσίδι σίδηρος, ὃ ἐκεῖνον μὲν ἀπέκτεινε· τοὺς νέους δὲ πάλιν ἀνεχαίτισεν. εἰ δὲ μὴ πονηρὸς δαίμων ἐφθόνησε ταῖς πόλεσι, τοῖς πᾶσιν ἂν ἐπιδόντα τὰ τῶν ἀνθρώπων πράγματα, κατὰ τοὺς λόγους μάλιστ' ἂν εἶχε τὴν ὑπερβολήν· ἐκοῦν τοῦ μὲν [45] ἐν μακρᾷ βασιλείᾳ τοῖς λόγοις πεπο-

si alia essent tempora, et id fieret, quod oportebat, etiamsi magister nullus eiusmodi interrogationibus velut stimulis quibusdam nos excitarent, haec mihi videtur loci obscurioris sententia esse.

[38] ᾔδειμεν] sic dedi. ᾔδει μὲν Mor.

[39] δ'] ἴσ. γ' Mor. in m.

[40] f. ἀσκεῖται γὰρ τὸ — γρ. δὴ m. Mor.

[41] κωνσταντίου] sic dedi. deplorat enim infelicitatem temporum Constantii, non Constantini. κωνσταντίνου Mor.

[42] ὁ διδάσκαλος κέχρηται] id est, patior me dici, qui literarum sum professus magister, male vsum esse oportunissimo iis tradendis tempore.

[43] γρ. ἀμφοτέρων] m. Mor.

[44] λέγοντος] sic ♀ et Bav. non oratores ipsi, sed oratorum notarii, verba ex ore dicentis rapiditate calami et compendiis verborum excipere docti.

[45] τοῦ μὲν] Constantium designat.

πεπολεμηκότος, τοῦ δὲ [46] τιμῶντος ῥητορικὴν, ἅμα τε φανέντος καὶ μεταστάντος, ὄκνος τις ἐνέπεσε τοῖς νέοις· τούτου δὲ ὄντος τηλικούτου, κἀγώ τινος αἴτιος βλάβης ὁμολογῶ γεγενῆσθαι. τὸ γὰρ αὐτὸ χρηστότητος μὲν δόξαν ἐμοὶ, ῥαθυμίαν δὲ τοῖς φοιτῶσιν ἡμῖν ἤνεγκέ σε [47]. τί τοῦτο; τὸ κύριον ἕκαστον εἶναι τῶν προσιόντων, δοῦναί τε μισθὸν, καὶ μή· γλυκὺ γάρ τι καὶ τοῖς δοῦναι δυναμένοις, ἐφάνη τὸ μὴ δοῦναι· καὶ τὴν τῶν ἀπορούντων ἀνάγκην, ἡ τῶν εὐπόρων ἐμιμήσατο γνώμη· μᾶλλον δὲ τῶν εὐπόρων οἱ μὲν ἤνεγκαν, οἱ δὲ οὔ· πλείονος δὲ [48] τοῦ μὴ διδόντος γινομένου, καὶ κατ' αὐτό γε τοῦτο ῥαθυμοτέρου. (τὸ γὰρ ἐξεῖναι προῖκα λαβεῖν, οὐδὲ προθύμως ἐπαναγκάζει λαμβάνειν· ὧν γάρ τις οὐ τίθησι τιμὴν, ταῦτα οὐκ ἀλγεῖ μὴ κτώμενος·) τοῦ δὴ πλείονος, ὅπερ ἔφην, κακῶς διακειμένου, συνεπεσπάσθη καὶ τὸ τὸν μισθὸν τελοῦν· καὶ μᾶλλον οὗτοι [49] πρὸς τὸ ῥαθυμεῖν ὑπ' ἐκείνων καθειλκύσθησαν, ἢ παρ' αὐτῶν [50] ἐκεῖνοι βελτίους ἐγένοντο· ῥᾷον γὰρ, οἶμαι, καὶ ἥδιον τὸ μηδὲν ποιεῖν, τοῦ πονεῖν [51]· ὥστε καὶ τούτοις λεπτὸν ἐγίγνετο τοῦ διδόναι τὸ κέρδος. ἐγένετό τις καὶ τρίτος τοῦ πράγματος ὄλεθρος· καὶ ἔστω μὲν καλὸν, καὶ ἐπαινείσθω τοῦτο τὸ ἐμπόδισμα, εἰ δοκεῖ· κώλυμα δὲ ἦν ὅμως μέγιστον τῇ τῶν λόγων ἰσχυῒ. τὸν μὲν γὰρ ἄλλον ἅπαντα χρόνον, τοὺς μὲν [52] ἀπὸ τῶν ἐργαστηρίων νέους, οἷς ἡ φροντὶς ὑπὲρ τῆς ἀναγκαίας τροφῆς, ἦν ἰδεῖν εἰς Φοινίκην ἐπὶ τὸ τοὺς [53] νόμους λαβεῖν ἰόντας· οἱ δὲ ἐξ εὐδαιμόνων οἰκιῶν, οἷς γένος ἐπιφανὲς, καὶ χρήματα, καὶ πατέρες λελειτουργηκοτες,

[46] τοῦ δὲ] Iulianum.
[47] ſic Bav. σε deeſt Mor.
[48] δὴ] Bav.
[49] οὗτοι] qui alias mercedem ſoluere con ueuerant. ὑπ' ἐκείνων] ſic ♀ et Bav. ab illis, qui, tametſi per fortunas dependere poterant, tamen prae inſolentia et inhumanitate recuſabant. ὑπ' ἐκ Mor.

[50] ἢ παρὰ τούτων. quam ab his, mercedem afferentibus, ἐκεῖνοι, illi denegantes et defraudantes.
[51] τοῦ πονεῖν] ſic recte Bav. et m. Mor. τὸ Mor.
[52] τοὺς μὲν] ſic recte m. Mor. τὰ μ. Mor.
[53] ἐπὶ τὸ τοὺς νόμους] — ſic dedi, τὸ deeſt Mor. τῷ m. Bav.

κότες, ἔμενον ἐν τοῖς ἡμετέροις, καὶ ἐδόκει τὸ μὲν τοὺς νόμους μανθάνειν, τῆς χείρονος τύχης· τὸ δὲ μηδὲν προσδεῖσθαι τούτων, τῆς ἀμείνονος εἶναι σημεῖον· ἀλλὰ νῦν πολὺς πολλῶν ὁ δρόμος ἐπ᾽ ἐκεῖνο, καὶ νεανίσκοι λέγειν εἰδότες, καὶ κινεῖν ἀκροατὴν ἔχοντες, εἰς Βηρυτὸν θέουσιν, ὡς ἂν προσληψόμενοί τι· λελήθασι δὲ σφᾶς αὐτοὺς, ἀντὶ τοῦ προσλαβεῖν ἀντιλαμβάνοντες [54]. οὐ γὰρ τὸ μὲν σώζεται τοῖς ἔχουσι, τὸ δὲ ἐπεισέρχεται· ἀλλὰ [55] τὸ ἴσως εἰσέρχεται· οὐ γὰρ οἷόν τε τὴν διάνοιαν ἀρκεῖν ὁμοῦ, πρός τε τὴν τούτων κτῆσιν, πρός τε τὴν τούτων φυλακὴν [55]· ἀλλ᾽ ὁ τούτῳ [57] προσέχων, ἐκεῖνο διαφῆκεν· ὥστ᾽ ἀμείνους ἂν ἦσαν πάντα τοῖς νόμοις διδόντες τὸν χρόνον, ἢ τούτου τὸ πλέον ἀναλίσκοντες μάτην. εἰ μὲν οὖν, ὡς χρησιμώτερον πρᾶγμα τοὺς νόμους διώκοντες, τοῦτο ποιοῦσιν, οὐδὲν οἶμαι δεῖν ἐξετάζειν· οὐ γὰρ διαδικασίαν τήμερόν ἐστι τοῖς νόμοις πρὸς τοὺς λόγους λαβεῖν· ἐκεῖνο δ᾽ ἀρκεῖ μοι δεῖξαι, ὅτι τοὺς ἐκτεθέντας [58] λόγους ὑπὲρ τῶν πρότερον διατριβῶν, ἀνάγκη τοῖς ἀπὸ τῶν δευτέρων ἐκκρούεσθαι· καὶ τὸ μὲν κρατεῖν, τὸ δὲ ἠφανίσθαι, τοῖς μὲν ὅλως, τοῖς δὲ οὐ μικρῷ μέρει. πρὸς τοίνυν τοῖς εἰρημένοις τοσούτοις οὖσιν, ἔστι μὲν [59] καὶ ἕτερον, ὃ παρήσω, μή τῳ δόξαιμι φθονεῖν· ἐπ᾽ ἐκεῖνο δὲ εἶμι τὸ κεφάλαιον τῶν βλαβερῶν. οὐ γὰρ ἔτι τοῖς παισὶν οἱ πατέρες ἀπειλοῦσιν, οὐδὲ εἴργουσι τῆς τραπέζης ἀμελοῦντας· οὐδὲ λουτρῶν

οὐδὲ

[54] ſe, quod ſperent et ſectentur, id non conſequi, ſed aliud, quod nolint. Quas literarias opes augere ſperant, nous quadam acceſſione, eas minuunt, permutatione literarum illa, quam faciunt. Latinas cum acquirunt literas, quas neſciunt, tum graecas, quas tenent, amittunt.

[55] f. ἀλλὰ τὸ μὲν ἴσως εἰσέρχεται, τὸ δὲ ἀπέρχεται. alterum (latina literatura) influit, ſi modo influit, alterum (graeca) effluit.

[56] f. τὴν ἐκείνων φυλακήν.

[57] τούτοις et ἐκεῖνα.

[58] ἐκτεθέντας] ſic Bav. et m. Mor. ἐκεθεντ. Mor. f. ἐντεθέντας λόγους ὑπὸ τῶν προτέρων διατριβῶν.

[59] ἐστὶ μὲν] ſic dedi. νῦν Bav. οὖν Mor. et m. ἴσ. ὅμως.

οὐδὲ τούτους [60] μὲν κολάζουσιν, ὡς ἑτέρῳ καταλείψουσι τὸν κλῆρον· ἀλλ᾽ ἐπαινεῖν μὲν οὐκ ἔχουσι, ψέγειν δὲ οὐ τολμῶσι· καὶ δεδώκασι [61] μὲν τὴν αὐτῶν τάξιν ἐκείνοις, τὴν δὲ ἐκείνων αὐτοῖς· ὥστε οἱ μὲν [62] ὀργίλον βλέπουσιν, οἱ δὲ [63] ὑποπτήσσουσι. νέοι δὲ ταύτην παραλαβόντες τὴν ἐξουσίαν, καθεύδουσι, ξέγχουσι [64], μεθύουσι, κωμάζουσι· τοῖς δὲ διδασκάλοις ἐνδείκνυνται [65] τοῦθ᾽, ὡς ἢν μὴ πάντα ἀνέχωνται, παρ᾽ ἑτέρους ἥξουσιν. ὁ πατὴρ δὲ οὐκ ἐπιχήσει· οἱ δὲ ἄθλιοι πατέρες, τὸ τῆς ἀνδρομάχης, καὶ συνερῶσι τοῖς υἱέσι [66]· καὶ τίς ἤδη τὸν παῖδα ὁρμῶντα ἐπὶ μίξεις παρανόμους ἐπῄνεσε, καὶ πληγῶν καὶ ταραχῆς ἐμπλήσαντα τὸ διδασκαλεῖον ἐθαύμασε; καὶ ἐφ᾽ οἷς προσῆκεν ἀποπνίγειν, ταῦτα ἔφησεν αὐτῷ κράτος ἐν ἀνδράσι παρέξει· ταῦτα ἐχρῆν ὁρᾷν τοὺς ἐπιτιμῶντας; ταῦτα λογίζεσθαι, ταῦτα αἰτιᾶσθαι, τοῦ μὴ πρὸς ἄκρον λόγων ἀφικνεῖσθαι τοὺς νέους· οὐ μὰ δία τὰς μὲν οὔσας αἰτίας ὑπερπηδᾷν, τὰς δὲ οὐκ οὔσας πλάττειν, καὶ τὰ ἀληθῆ μὲν ἐᾷν, τὰ ψευδῆ δὲ τραγῳδεῖν· καὶ διχῇ τὸ δίκαιον ἐκβαίνειν, οἷς τε σιγῶσιν, οἷς τε λέγουσι. τοσαῦτα μὲν σὺν [67] ἡμῖν, καὶ πλείω τούτων, παρείλετο τὴν βλάστην τῶν ἐν τοῖς νέοις ὀφειλόντων ηὐξῆσθαι λόγων [68]·

ἀλλ᾽

[60] f. οὐδὲ τοὺς μὲν κολάζουσι, τοὺς δὲ φοβοῦσιν, ὡς ἑτέρῳ. Bav. dat οὐδὲ τοῖς.

[61] munia ſua paterna (monendi, hortandi, imperandi, vetandi,) transferunt in filios, munia contra filiorum (reuerendi et parendi) transſumunt in ſe.

[62] οἱ μὲν] filii.

[63] οἱ δὲ] patres.

[64] poſt ξέγχουσι, dat Mor. κενθοῦσι deeſt Bav. et delevi.

[65] ἐνδείκνυνται] ſic ♀ et Bav. ἐνδείκνυται Mor.

[66] videtur hoc ex aliqua Sophoclis aut Euripidis tragoedia, Andromacha, ſumtum, vbi ait Andromache, ſe liberorum amores ſequi.

[67] σὺν] l. οὖν.

[68] hic init altera pars orationis. Superiori expoſuerat cauſas corruptae et deficientis eloquentiae, e quibus hoc confecerat, ignoſcendum ſibi eſſe, etiamſi nullos vnquam habuiſſet literatos diſcipulos. Iam altera parte ſuſcipit planum facere, e ludo ſuo tanquam ex

eque

ἀλλ᾽ ὅμως ἐκ τοσούτων [69] ἐλαττωμάτων, ἔφη που [70] δημοσθένης, καὶ οὐκ ἀλαζονεύομαί γε, οὐδὲ ἐρῶ τι μεῖζον τῶν ὄντων, ὡς ἐνέπλησα ῥητόρων τὰς τρεῖς ἠπείρους, καὶ τὰς νήσους ἁπάσας, μέχρι τῶν ἡρακλέους στηλῶν· ἀλλ᾽ ἐρῶ τοσοῦτον, ὅσον ἂν καὶ δεῖξαι δυναίμην, ὅτι εἰσί μοι παῖδες (οὕτω γὰρ καλὸν ὀνομάσαι τοὺς τῆς συνουσίας ἀπολελαυκότας) οἱ μὲν ἐν θράκῃ, καὶ τῇ μεγάλῃ πόλει, οἱ δὲ ἐν βιθυνίᾳ, οἱ δὲ ἐν ἑλλησπόντῳ, καὶ καρίᾳ, καὶ ἰωνίᾳ, καὶ παρὰ παφλαγόσιν, εὕροις ἄν, εἰ βουληθείης, καὶ παρὰ καππαδόκαις, οὐ πολλοὺς μὲν ἐνταῦθα· οὐδὲ γὰρ πολλοὶ παρ᾽ ἡμᾶς ἧκον ἐκεῖθεν· εὕροις δ᾽ ἄν τινας· πολλοὺς γε μὴν ἴδῃς [71] ἂν ἐν γαλατῶν πόλεσιν, ὧν οὐκ ἐλάττους ἐν ἀρμενίᾳ. πάλιν δὲ τούτων πλείους, οἱ κίλικες· καὶ οἱ τούτων γε πολλῷ πλείους, οἱ σύροι· κἂν ἐπὶ τὸν εὐφράτην βαδίζῃς, καὶ διαβὰς τὸν ποταμὸν ἔλθῃς ἐπὶ τὰς μετ᾽ ἐκεῖνον πόλεις, ἐντεύξῃ τισὶ τῶν ἡμετέρων ἑταίρων, ἴσως οὐ φαύλοις. ἔχει μοι καὶ τινὰ φοινίκη χάριν, καὶ παλαιστίνη, καὶ μετὰ ταύτης ἀραβία, ἰσαῦροι, πισίδαι, φρύγες· καὶ ταῦτα λέγω, οὐχ ὡς ἁπάντων, τῶν ἁπανταχόθεν, λόγων ἰσχὺν παρ᾽ ἡμῶν οἴκαδε κεκομικότων· ἀλλ᾽ ὡς ἑκάστης γῆς δεξαμένης τινὰς ῥήτορας· καὶ σιωπῶ τοὺς τεθνεῶτας· οὓς εἰ φαίην μέγιστόν μοι γεγονέναι κόσμον, οὐκ οἶμαι λυπήσειν τοὺς ζῶντας, ὧν οἱ μὲν ἐμοὶ πολῖται· δύο δὲ ὁμώνυμοι [72] γαλάται, καὶ καππαδόκης πέρυσιν, καὶ κίλιξ οὐ πάλαι, καὶ πρὸς ἐκείνοις φοίνιξ· οἱ καὶ μόνοι πρὸς γῆρας ἥκοντες ἤρκουν ἄν με στεφανῶσαι τῇ δόξῃ. τίνες, φησὶ, τούτων εἰς τὸ παιδεύειν κατέστησαν; οὐδείς. οὐδὲ γὰρ ἠβουλήθησαν, σφόδρα ἄν, εἴπερ ἐβούλοντο, δυνηθέντες· εἰ μὲν οὖν οὐκ ἔχουσι τὴν δύναμιν, δεῖξον·

εἰ

equo Troiano principes eloquentiae graecae quam plurimos exiisse.

[69] τούτων Bav.

[70] που] sic Bav. μου Mor.

[71] γρ. ἴδοις m. Mor.

[72] ὁμώνυμοι] cuinam? Libanione? an sibimetipsis? si posterius, quodnam fuit amborum commune nomen? ὁμωνύμω Mor.

εἰ δὲ παρούσης ἐκείνης, ἑτέρωσε μᾶλλον ὥρμησαν, οὐκ ἂν εἴη σημεῖον τοῦ μὴ δεδυνῆσθαι τὸ μὴ βεβουλῆσθαι[73]· πολλὰ γὰρ, ὧν ἂν πράξαιμεν, εἰ προελοίμεθα, φεύγομεν· οἱ μὲν οὐδενὸς λογισμοῦ πείθοντος δρᾶν· οἱ δὲ καὶ κωλύοντος· πόσοι ῥώμην ἔχοντες οὐκ ἐνέγραψαν αὐτοὺς ἀθληταῖς μυ.ίοις; πόσοι πολεμικοὶ τὰς φύσεις, οὐκ ἐγένοντο στρατιῶται; πόσοι δὲ ἀρχικοὶ, μᾶλλον ἄρχεσθαι παρ᾽ ἑτέρων, ἢ πόλεων ἄρχειν ἐδέξαντο; ἐῶ τοὺς ἄλλους· ἀλλ᾽ ὁ θεῖος ἐμὸς[74], ὁ νεώτερος οὐδαμοῦ τοῦ πρεσβυτέρου τῇ περὶ ταῦτα ἀρετῇ λειπόμενος· ἔστι δὲ ὅπη καὶ παριὼν[75] πολλὰς ἀρχὰς διεσώσατο[76], τὴν τοῦ πολιτεύεσθαι τάξιν· πρὸ τοῦ τῶν ἀρχόντων ποιησάμενος σχήματος· καὶ πολλοὺς ἂν ἔχοιμί σοι πολιτευομένους λέγειν, ὅτι[77] τοῦτ᾽ αὐτὸ ποιοῦντες διατελοῦσιν, ἐξὸν πάλαι δι᾽ ἀρχῶν ἀφῖχθαι, καὶ σοβεῖν, κατ᾽ ἐνίους τῶν, ἐπειδὴ ἦρξαν, ἀγνοουμένων[78]. τί οὖν θαυμαστὸν, εἰ ὥσπερ ἑτέροις ἄρχειν ἐπισταμένοις, ἄρχεσθαι λυσιτελέστερον ἔδοξεν; οὕτω τισὶ παιδεύειν δυναμένοις, οὐ ταύτην ἐλθεῖν τὴν ὁδὸν ἔδοξεν. ὑπὲρ ὧν εἰ δεῖ με καὶ τὰς αἰτίας εἰπεῖν, οὐδὲν ἂν εἴποιμι ποικίλον· ἀλλ᾽ ὃ καὶ παιδὶ δῆλόν ἐστιν, ὅτι τὸ πρᾶγμα ὁρῶντες καταπεφρονημένον, καὶ κατορωρυγμένον, καὶ μηδεμίαν ἔχον, μὴ δόξαν, μὴ δύναμιν, μὴ πρόσοδον· ἀλλ᾽ ἀντὶ τούτων ἐπίπονον δουλείαν, καὶ πολλοὺς ὄντας τοὺς δεσπότας, πατέρας, μητέρας, παιδαγωγοὺς, αὐτοὺς τοὺς νέους· οἱ πρᾶγμα ἀτοπώτατον πεπόνθασιν, οἰόμενοι τὸν διδόντα τοὺς λόγους, δεῖσθαι τοῦ ληψομένου, καὶ τὴν ζημίαν, τὴν ἐν τῷ μὴ λαβεῖν τοῦ διδόντος οὖσαν, ἀλλ᾽ οὐ τοῦ μὴ λαβόντος. ταῦτα ὁρῶντες, πρᾶγμα κακὸν γεγενημένον φεύγουσιν, ὥσπερ οἱ πλέοντες τὰς ὑφάλους. ἀλλ᾽ εἰς ἐμὲ ὁρῶν τις, ἐπιθυμήσει τοῦ πράγματος, ὃς δοκῶ μὲν εὐδαιμονεῖν, ζῶ

δὲ

[73] τὸ μὴ βεβ] sic ♀ et Bav. μὴ deest Mor.

[74] ἐμὸς] h. e. ὁ ἐμὸς. sic ♀ et Bac. οὐ μόνος Mor.

[75] παριὼν] sic ♀ et Bav. παριὼν Mor. et marg. γρ. παρών·

[76] διεώσατο, deprecatus est, recusauit.

[77] ὅτι] οἱ Bav.

[78] ὀγκουμένων Bav.

δὲ ἀθλιώτερον τῶν δεδεμένων, ἐπιτάγματα φέρων, καὶ τοὺς αὐτοὺς ἀναγκαζόμενος μισεῖν τε καὶ θεραπεύειν, τὸ μὲν ἐξ ὧν πέπονθα, τὸ δὲ ὑπὲρ τοῦ [79] μὴ πλείω καὶ μείζω παθεῖν· τοιοῦτοι γὰρ οἱ νῦν πατέρες, ὧν ποιοῦσι [80] μαθητὰς τοὺς παῖδας, τούτους ἀπολέσαι ζητοῦσι. κἂν μὴ τοῦτο δυνηθῶσιν, εἰπόντες κακῶς, ἐχαρίσαντο τῷ θυμῷ. τὰ τοίνυν περὶ τὰς ἀποδείξεις [81] τῶν λόγων· τίνα οὐκ ἂν τῶν εὐφρονούντων πείσειε, συμφορὰν τὸ παιδεύειν ἡγεῖσθαι; ὅτε γὰρ μὴ κεκλημένος, ἐχθρὸς εἴτε καλέσειας ἠνώχλησας [82]· καὶ τῷ μὲν ἁμαρτόντι καὶ σμικρὸν, οὐδεμία συγγνώμη· τῷ δὲ εὐδοκιμοῦντι πολὺς ὁ φθόνος· καὶ τὸ κακῶς ἀκούειν ἐν ἀμφοτέροις. εἶτι τοίνυν ὁ μὲν οὐκ εἰσπράττων ἀργύριον, οὐδ᾽ ἂν λάβοι· τῷ δὲ εἰσπράττοντι, παρὰ τοῦ δεδωκότος ὁ πόλεμος. τοιαῦτα καὶ πλείω τούτων ἐνορῶντες [83] τῷ πράγματι δυσχερῆ καὶ δεινὰ, θαυμάζεις [84], εἰ δεδοίκασιν ἄνθρωποι νοῦν ἔχοντες; οὐ μὴν ἀλλ᾽ εἰ δεῖ με πάντως φανῆναι διδασκάλου διδάσκαλον, ἀπόβλεψον εἰς τουτονὶ Καλλιόπιον, ὃς ἀγαπᾷ μὲν τῇ δευτέρᾳ χώρᾳ, δύναιτο δ᾽ ἂν βουληθεὶς τὴν πρώτην ἔχειν· δεῖξαι δὲ τοῦτο παρέλθω [85]. τὰ γὰρ νῦν κρυπτόμενα, καιρὸν εὑρόντα φανήσεται. τούτῳ παραπλήσιοι πολλοὶ, ταῖς δίκαις αὐτοὺς δεδώκασιν, ὁρῶντες τὸν ἄνθρωπον στένοντα, οἵῳ φέρων ἑαυτὸν ἐνέδησε κακῷ. εἰ δέ τις φιλονεικήσει, μόνῳ τούτῳ ταύτην ἐγγεγενῆσθαι τὴν δύναμιν. ἀλλ᾽ ἕως ἂν ὁμολογῇ καὶ παρ᾽ ἑνὶ τὸ δύνασθαι παιδεύειν εἶναι, τὸ δύνασθαί με ποιεῖν τινὰς ἱκανοὺς παιδεύειν, δέδωκεν. ἀπὸ γὰρ τῶν αὐτῶν λόγων πολλοῖς ἂν ὑπῆρ-

79 τοῦ] sic dedi. τὸ Mor.

80 γρ. ἔχουσι m. Mor.

81 l. ἐπιδείξεις.

82 καλέσειας ἠνώχλησας] sic Bav. ἠνώχλ. deest Mor.

83 γρ. ἐνορῶν τις m. Mor.

84 γρ. θαυμάζει] m. Mor. potest lectio marginis pariter atque vulgata probari.

85 f. δεῖξαι δ᾽ εἰς τοῦτο παρελθών. et videtur id ipso opere demonstratum daturus, si illum ad gradum, progressu temporis, peruenerit. δεῖξαι h. l. est optatiuus. τοῦτον ἀπελθω Bav.

ὑπῆρξε δύναμις· ὥσπερ ἀπὸ τῶν αὐτῶν χειρῶν, πολλοῖς ἂν πλέθροις ἡ σπορά· πολιτεύονται [86] δέ τινες, φησὶ, πολλοὶ, καὶ πῶς [87], φησὶν, ἐκ ἐκλάμπεσι τῶν ἄλλων ἐν ἀγκύρᾳ τῇ πρώτῃ καὶ μεγίςῃ γαλατῶν πόλει; καὶ μάλα ἐκλάμπεσιν· ἀγησιλάε παῖδες, τὸν μὲν πατέρα τῇ δόξῃ παρελθόντες, τὸν βέλτιςον ἀγησίλαον, τὲ θείε δὲ ἐκ ἀπολειφθέντες· τοῖς δ' ἄλλοις ἐδ' ἀντιβλέψαι πρὸς αὐτὲς παρέχοντες; ἐ τῷ μεγέθει τῶν εἰς τὴν πόλιν ἀναλωμάτων, τἔτο κτησάμενοι μᾶλλον, ἢ τῷ δύνασθαι τὰ βέλτιςα λέγειν περὶ τῶν ἀεὶ προτιθεμένων. λέγεται δὲ καὶ καππαδόκης τις ἰχύειν ἐν ἴσοις γράμμασι, καὶ τὲς κίλικας μονονεχὶ ὁρῶμεν ἄγοντας τὴν αὐτῶν τοῖς λόγοις [88]. ἀλλὰ μὴν καὶ τῇδε [89] δείξειεν ἄν τίς σοι νέες, ἀμείνου γερόντων πολλῶν πολιτευομένες, ὧν πολὺ βελτίες ἐ πολιτεύονται [90] ῥήτορες, καὶ πολύ γε χείρες πολιτεύονταί τε, καὶ περὶ τῶν κοινῶν λέγεσι. πῶς δὲ τἔτο γέγονε; δυοῖν νῦν γε τῷ πολιτευομένῳ δεῖ, λόγων τε καὶ χρημάτων· καὶ πρότερόν [91] γε χρημάτων. ἂν γὰρ μὴ τὰ μέγιςα λειτεργήσῃ, καὶ πλεῖςα ἀναλώσῃ, κἂν νέςωρ ᾖ, κἂν περικλῆς, κἂν δημοσθένης, σιγᾷν ἀνάγκη πᾶσα

[86] sic distinguendae personae. obtrectator Libanii: *πολιτεύονται δέ τινες?* suntne, quie tuo ludo profecti, Libani, municapalium decurionum functiones obeant? respondet Libanius. *πολλοί.* sunt, iique numero plurimi. rursus pergit obtrectator. *πῶς, (φησὶν) ἐκ ἐκλάμπεσι τῶν ἄλλων?* qui ergo fit, vt prae aliis non exsplendescant? respondet Libanius: *ἐν ἀγκύρᾳ — πόλει καὶ μάλα* — Ancyrae vel maxime enitescunt Agesilai filii, Albanius et Strategius.

[87] *καὶ πῶς*] sic Bav. *καὶ* deest Mor.

[88] f. *τοῖς ἡμετέροις λόγοις.*

[89] *καὶ τῇδε*] etiam hic, hac in vrbe nostra.

[90] f. *ἐ πολλοὶ πολιτεύονται.* quibus qui oratores rempublicam tractent multis partibus praestantiores, non sane multos reperias, at reperias quidem, qui id faciant, multo istis inferiores.

[91] *πρότερον* h. l. accipio pro *πάντων πρώτιςα.* ante omnia.

πᾶσα ἑκόντα. εἰ δὲ μὴ βούλοιτο, ἄκοντα· ἄλλως θ᾽ ὅταν μηδ᾽ ὑποτείνειν ἐλπίδας ἔχῃ λειτουργιῶν, διὰ τὴν παροῦσαν πενίαν. ὁ γὰρ μὴ δυνάμενος [92], τοὺς εὖ φρονοῦντας ληροῦντας ἐπιδεικνύειν αὐτός [93]· λειτουργίαις δὲ λαμπρὸς, ἐπιστομίζει τοὺς ἐπιχειροῦντας λέγειν, ὡς οὐκ ἀνηλωκότας. συνέβη δὲ τοῖς μὲν οὐ μάλα δεινοῖς, εἶναι περιουσίας, τῶν δὲ ἐπισταμένων λέγειν, ἀπεῖναι πλοῦτον· καὶ οὕτω δὴ τοὺς μὲν οὐχ ἅψασθαι τῶν κοινῶν, τοὺς δὲ ἀσθενέστερον· εἰ δέ τις συνήγαγε θεῶν τὴν δι᾽ ἐκείνων δεινότησα [94]· καὶ ἢ τούτοις τὰ χρήματ᾽ ἦν εὐπορῶν [95], ἢ ἐκείνοις τὴν τούτων ἐδεδώκει δύναμιν. πρὸς μὲν Φασγάνιον οὐκ ἂν ἀμιλληθείεν, φαίην ἄν. θεῖον γάρ τι τό, γε ἐκείνου, καὶ κρεῖττον ἀνθρωπείας φύσεως· πολλοὺς δ᾽ ἂν τῶν νῦν καλουμένων ῥητόρων, μικρὸν κατηνάγκασεν φρονεῖν. ἕτερον τοίνυν ἐρωτῶσι· πῶς δὲ οἱ παρὰ ταῖς δίκαις συνηγορεῖν τάξαντες ἑαυτοὺς, τοὺς ἐπ᾽ αὐτοὺς καταφεύγοντας, οὐ πολλοὺς ἔχουσιν; ὅτι, ὦ βέλτιστοι, μετὰ τοῦ λέγειν αἰσχύνεσθαι παρ᾽ ἐμοὶ μεμαθήκασι. διὰ τοῦτ᾽ οὐ μισθοῦνται προσαγωγέας· οὐδὲ ἀρπάζουσι τοὺς δικαζομένους, οὐδὲ κολακεύουσι καπήλους, οὐδὲ πέμπουσιν εἰς τοὺς ἀστυγείτονας ταπεινὰς ἐπιστολὰς, οὐδὲ δουλεύουσι τοῖς τῶν ἀρχόν-

[92] f. ὁ γὰρ λειτουργεῖν μὴ δυνάμενος.

[93] l. αὐτὸς λέγων. nam qui muneribus curialibus fungi nequit, tametſi ipſe in ſenatu ſententias dicit, exemplo tamen fit, vnde conſtet, vel ſaluberrima et ſapientiſſima ſuadentes pro ſtultis et temere garrientibus irrideri.

[94] f. θεῶν τῇ ἐκείνων περιουσίᾳ τὴν τούτων δεινότητα.

[95] εὐπορεῖν non raro pro ἐκπορίζειν reperitur. h. e. pro acquirere, vnde vnde reperire, comparare, praeſtare alteri, et ἦν εὐπορῶν poſſet accipi h. l. pro ἐξεπόριζε. ſi deus quis praeſentes his ſiſteret. et in manus daret illorum opes. verumtamen quia manifeſtum eſt, deſiderari h. l. ἐκείνων, malim ſic legi: καὶ ἢ τούτοις τὰ χρήματ᾽ ἐκείνων τῶν εὐπόρων, ἢ ἐκείνοις — ſi deus quis aut his diſertis diuitias illorum locupletium, aut his locupletibus facundiam illorum largiretur.

ἀρχόντων ὑπηρέταις, οὐδὲ συντίθενται πρὸς τοὺς κήρυκας ὑπὲρ τῶν ἐσομένων κερδῶν, οὐδ' ὠνοῦνται τὰς εἰσόδους παρὰ τῶν εἰσαγωγέων. ταυτὶ γάρ ἐστι τῆς νῦν ῥητορικῆς τὸ κράτος· βοῆσαι, ψεύσασθαι, ἐπιορκῆσαι, ταράξαι, θόρυβον ἐμβαλεῖν, ὑποχέσθαι, δοῦναι. ὧν οὐδὲν οἱ παρ' ἐμοὶ διατρίψαντες οὔτε βούλονται ποιεῖν, οὔτε δύνανται· μηδὲ βουληθεῖέν γέ ποτε, μηδ' αὖ δυνηθεῖεν, ὦ Ζεῦ, ἀλλ' ἐφ' ὧν εἰσι νῦν μένοιεν, βοηθοῦντες μὲν τοῖς δεομένοις, καὶ παρέχοντες ἑαυτοὺς ἱκανὸν ῥεῦμα, τοὺς δὲ οὐ προσιόντας, μήτε ζητοῦντες, μήτε θηρεύοντες. ἔτι τοίνυν ἡ τῶν δικαζόντων περὶ τὰς εἰσπράξεις ἀσχολία, καὶ τὸ ταῖς μὲν δίκαις ὀλίγον μέρος τῆς ἡμέρας νέμειν, τὸ δὲ τοὺς ὀφείλοντας ἄγχειν τε καὶ κατατέμνειν τὸ πλέον, μήκη τε καὶ κάλλη λόγων ἐξέβαλε. καὶ τὸ τοῦ ῥήτορος ὡς ἀληθῶς ἔργον, ὄχλον ἀπέφηνε· κἂν διηγήσηταί τις, κἂν ἐσκεμμένον τι κομίσῃ, ληρεῖν ἔδοξε καὶ τρίβειν χρόνον, τοὺς δὲ ἀμαθεῖς τουτουσὶ, καὶ πολλοὺς, καὶ τῶν ἀγοραίων οὐδὲν βελτίους, καὶ νεύμασι μᾶλλον, ἢ εὐφωνίᾳ, περὶ ὧν εἰσέρχονται διδάσκοντας, τούτους ἰσχυροὺς ἐποίησεν[96]. εἰ δὲ[97] ἐν τοῖς ἀρχαίοις ἔθεσι μεμενήκει τὸ πρᾶγμα· καὶ ὁ δικάζων λόγον εὖ συγκείμενον ἀπῄτει καὶ τὸ μὴ τοῦτο ποιεῖν ἔχοντα, πάλιν ἔπεμπεν εἰς διδασκάλους· πάντας ἂν εἶδες τοὺς ἡμετέρους ὑπὸ τῶν βοηθεῖν δεομένων περιρρεομένους, καὶ οὐκ ἀποχρῶντας τῷ πλήθει τῶν ἀξιούντων ἀμύνειν. νῦν δὲ πλεονέκτημα μὲν, τὸ μὴ δύνασθαι λέγειν· ἔγκλημα δὲ, τὸ ῥητορεύειν ἱκανῶς. ἐντεῦθεν αἱ χελῶναι τοὺς ἵππους παρευδοκιμοῦσιν, οὐ κατὰ τὸν αἰσώπου μῦθον, ῥᾳθυμοῦντας[98] πονοῦσαι, ἀλλ' αὐτῷ τῷ λείπεσθαι[99] τοῦ τάχους νικῶσαι· μὴ δὴ τῷ μέτρῳ τῶν μισθῶν κρινέτω μοί τις τὸν ῥητορικώτατον, ἀλλ' αὐτῇ τῇ κτη-

κτη-

[96] ἐποίησεν] scil. ἡ τῶν δικαζόντων ἀσχολία.

[97] εἰ δὲ] sic ♀ et Bav. οὐδὲ Mor.

[98] ἴσ. ῥᾳθύμως m. Mor.

[99] ἀλλ' αὐτῷ τῷ λείπεσθαι] sic Bav. et ♀ ἀλλ' αὐτῇ τῇ κτήσει λείπ. Mor.

κτήσει [100] τῆς τέχνης· κἂν ὅτω ποιῇ, τὲς μικρὰ καρπεμένες τετεσὶ, τῶν εὖ πραττόντων ἐκείνων, εὑρήσει βελτίες· εἰ δὲ πρὸς τ' ἀργύριον με τὸ γιγνόμενον ἐκείνοις, ἀξιοῖς ἀποβλέπειν εἰς τὰς ψυχὰς, ἐγὼ τὰς ἐκβεβαρβαρωμένας ἀξιῶ σε [1] βλέπειν· ὃς γὰρ ἐποιέμεθα γέλωτας παρὰ τοῖς διδασκάλοις, ὅτοι δοκέσιν εἶναι δικῶν τεχνῖται, καὶ ἐμπλήσαντες χρυσῷ τὰς χεῖρας, ἀπέρχονται καθ' ἑκάστην ἡμέραν. ἀλλ' ὅτοι [2] μὲν, εἰ καὶ τῆς τῶν λόγων ἀπελείφθησαν ἰσχύος, ἀλλ' ἐξεζήτησάν τε κτήσασθαι, καὶ μισθὸν, πρὶν λαβεῖν, ἔδωκαν· καὶ μέρος ἐγένοντο χορῷ, καὶ προσηγορίας βελτίονος ἐκοινώνησαν. ἄνθρωπος δέ τις γάρε κάπηλος, καὶ τῦτο ποιῶν διὰ τῆς θαλάττης, ἡλιόδωρος ὄνομα αὐτῷ, κατ' αὐτὴν τὴν ἐμπορίαν [3] ἥκων ποτὲ καὶ εἰς κόρινθον, δίκης τινὸς ὅσης φίλῳ, παρ' ᾧ κατέλυε, νοσῦντος ἐκείνε τάξιν εἰσῆλθε [4] λαβὼν, καὶ ἠκροᾶτο τῶν συνηγόρων· ἐλπίδος δὲ αὐτῷ πρὸς τὴν ἀκοὴν γενομένης, ὡς ἄρα καὶ αὐτὸς ἔσαι τῶν βοηθέντων, εἰ προσέχοι ταῖς δίκαις, τὸν νῦν

[100] ἀλλ' αὐτῇ τῇ κτήσει] ſic Bav. deſunt Mor.

[1] ἀξιῶσαι Bav.

[2] ὅτοι] cauſidici, e ludo meo profecti. at hi tamen omni contentione elaborarunt, facultatem dicendi vt ſibi compararent; et antequam eam nanciſcerentur, mercedem doctrinae ſoluerunt magiſtris eloquentiae, et fuerunt in coetu iuuenum, bonis artibus ſtudentium, et honorificam aliquam appellationem (rhetoris aut ſophiſtae) meruerunt. h. e. vt populari latinitate, qua hodie vtimur, rem exprimam, in vniuerſitate curſum ſuum abſoluerunt, et gradum aliquem adſciuerunt. Huiusmodi enim latinitas cathedras noſtras hodie perſonat.

[3] τὴν ἐμπ.] ſic Bav. τὴν deeſt Mor. f. κατὰ τὴν ἐμπορίαν. quod idem eſt atque κατὰ ταύτην τὴν ἐμπορίαν. gari vendendi ergo.

[4] Conſtructio eſt: εἰσῆλθεν (εἰς τὸ δικαστήριον puta) τὴν ἐκείνε νοσῦντος τάξιν λαβών. ingreſſus eſt in tribunal, poſtquam adſciuerat perſonam amici aegrotantis. h. e. nomine loco que amici ſui diem obiit illam iudicialem.

νοῦν μερίζει [5], εἴς τε τοῦ γάρου τὴν ἐπιμέλειαν [6], εἴς τε τὴν ἀκρόασιν τῶν δικῶν· καὶ χρόνος βραχὺς, καὶ ῥήτωρ ἐξαίφνης ἡλιόδωρος, καὶ δύναμις ἐξ ἀναιδείας, τὸ μὲν πρῶτον οὐ πάνυ μικρὰ, μετὰ ταῦτα δὲ μεγάλη, χρόνου δὲ προϊόντος, μεγίστη· καὶ τῶν μὲν ἐκ τοῦ γάρου σκωμμάτων οὐκ ἀπήλλακτο· τῶν δὲ σκωπτόντων περιῆν· καὶ οἰκίαν ἐώνητο, καὶ ἀνδράποδα, καὶ γῆν· καὶ πρῶτος ἀγὼν πρὸ τῶν δικαστηρίων τοῖς ἔνδον ἀγωνιουμένοις ἦν, ἡλιοδώρου τὴν ἀσπίδα προσλαβεῖν. οὕτως ἀνὴρ τῷ μηδὲν ὀκνεῖν εὐδοκίμει· διεξιὼν δὲ πᾶν δικαστηρίου μέτρον [7], τελευτῶν ἐν τοῖς βασιλείοις ἔλεγεν, οἷα λέγειν τὸν τοιοῦτον ἀνάγκη. τὸ νικᾶν δὲ καὶ ἀπὸ τούτων εἶχε. μισθὸς δὲ αὐτῷ, πολλαὶ μὲν ἐν μακεδονίᾳ γεωργίαι. πλείους δὲ ἐν αἰτωλίᾳ καὶ ἀκαρνανίᾳ, χρυσὸς, ἄργυρος, πλῆθος ἀνδραπόδων, ἵππων ἀγέλαι καὶ βοῶν. ὧν γὰρ ἐκ συνηγορίας γυναῖκά τινα κατέστησε κυρίαν, τὰ ἡμίσεα τούτων εἶχεν ἆθλον. ὁ δὲ καὶ ἦρχεν, ὡς δὴ τὰ τῶν ῥητόρων πεπονηκώς. οὕτως οὐδὲν θαυμαστὸν, ὦ φιλότης, ἀμαθίαν ἐν δίκαις, ἀφορμὴν εἰς πλοῦτον γενέσθαι· πολλῶν δὲ ἔχων μνησθῆναι τούτῳ παραπλησίων, περὶ τούτου μόνου διῆλθον· ἐπειδὴ τοὺς μὲν, ὀλίγοι τινὲς ἐγνώκεσαν· καὶ τάχ᾽ ἄν τις ἠπίστησε λέγοντος, περὶ δὲ τοῦδε, πολλοὺς ὑπάρχει μοι πανταχόθεν καλεῖν μάρτυρας. ἀλλὰ καὶ τοὺς συνάρξαντας συναριθμοῦνται [8], τοῦ δεῖνος ὁμιληταὶ δέκα, τοῦ δεῖνος πλείους, ἑτέρου

[5] sic distinguo: εἰ προσέχοι ταῖς δίκαις, τὸν νοῦν μερίζει. si attenderet causis dicendis, ita diuidit animum inter collocationem sui gari et audientiam causarum, si quae in foro agerentur. post μερίζει add. Bav. τὴν ἐπιμέλειαν.

[6] ἐπιμέλειαν] πρᾶσιν Bav. sed vulg. in marg.

[7] mensura dicasterii cuiusque est dignitas eius, et existimatio, qua censetur vulgo. parua mensura significat dicasterium inferius, maxima summum. vult itaque dicere: versatus Heliodorus in omnibus ex ordine dicasteriis, paruis, mediocribus, maioribus, tandem euasit ad maximum, palatinum puta.

[8] f. ἀλλὰ καὶ τοὺς σὺν ἄλλοις (subaudi γεγονότας) ἄρξαντας, συναριθμοῦνται. est noua obie-

ctio

ἑτέρου δ' εἴκοσι· σὺ δὲ ἡμῖν, ἐρωτῶσι, πόσα γένη ἐθνῶν διὰ τῶν σαυτοῦ διῴκησας; ὥσπερ μέρος ὂν ῥητορικῆς, καὶ τὸ παρελθεῖν εἰς ἀρχήν. ἐγὼ δὲ δεῖν μὲν ῥητορικῆς τοῖς μέλλουσι καλῶς ἄρξειν, ὁμολογῶ· οὐ μὴν τοῦ κεκτῆσθαι ῥητορικὴν, ἀπόδειξιν εἶναι τὸ καὶ πόλεως [9] ἀρχὰς λαβεῖν. ἔστι γὰρ καὶ λαβεῖν ἀρχὴν οὐκ ὄντα ῥήτορα, καὶ μὴ λαβεῖν ὄντα· καὶ ταῦτα ἐστι δῶρα τῆς τυχης, οὐκ ἐν τῇ φύσει τῆς τέχνης· καὶ τοῦτο ἀεὶ μὲν οὕτως ἔχε, μάλιστα δὲ ἐπὶ τῆς κωνσταντίου βασιλείας, ὃς τοὺς ὑπάρχους ἡμῖν ἀπὸ τοῦ τῶν ὑπογραφέων ἔθνους ἐφίστη· καὶ οἱ μὲν ἐκάθηντό τε καὶ προσέταττον· οἱ δὲ ῥήτορες εἱστήκησάν τε καὶ ἔτρεμον. καὶ μέγα μὲν [10] ἐν διακονίᾳ τινὶ τυχεῖν ἐπαίνων καὶ μὴ δόξαι βραδὺν· καίτοι, εἰ τοῖς διδασκάλοις [11] προσθήσομεν τὰ τοιαῦτα, ἃ θεῶν ἐστι καὶ δοῦναι, καὶ μὴ σεμνότερος ἡμῖν ὁ ῥόδιος οὐλπιανοῦ γίγνεται. καὶ μὴν κἀκεῖνο δεινῶς ἄλογον, νέους γέρουσι παραβάλλειν· καὶ τοὺς ἄρτι τοῦ διδάσκεσθαι πεπαυμένους, ὧν οἱ πολλοὶ τεθνᾶ-

ctio. atqui, ait, mei aduersarii connumerant (h. e. multas et magnas cateruas enumerant) eorum, qui ex aliorum magistrorum disciplina ad honores (palatinos puta et castrenses) ascenderunt. possit quoque legi: ἀλλὰ καὶ τοὺς παρ' ἄλλων ἢ ἄρξαντας αὐτοὺς ἢ συνάρξαντας συναριθμοῦνται. atqui discipulos aliorum connumerant, qui aut ipsi populos gubernarunt, aut eorum gubernatoribus consilio et opera sua adfuerunt, et omnium rerum ad gubernationem pertinentium participes fuerunt.

[9] πόλεων. in plurali.

[10] μὲν] f. μέντοι. est noua accusatio. Discipuli tui, Libani, sunt tardi, et inglorii iacent. respondet verbis καίτοι, εἰ — atqui, ait, si fas est, magistris imputare ea, quae deorum est dare et negare, ingenii alacritatem et excitationem, tum Rhodius (aut Herodius) nil venerabilior fuit Vlpiano, h. e. tum Vlpianus, meorum discipulorum vnus aliquis, nil concedit de gloria Herodio, discipulo alius alicuius magistri. possit quoque sic legi: καὶ δοῦναι, καὶ ἀφελέσθαι, μηδὲν ἀσεμνότερος ἡμῖν ὁ Ῥόδιος Οὐλπιανοῦ γίγνεται. vel καὶ δοῦναι καὶ ἀφελέσθαι, ὅρα μὴ σεμνότερος ἡμῖν ὁ Ῥόδιος Οὐλπιανοῦ γίγνηται.

[11] γρ. διδασκαλείοις m. Mor.

τεθνᾶσιν, ἀξιοῦν τετυχηκέναι τιμῶν, ἐν αἷς ἄνθρωποι μόλις πρεσβῦται γεγόνασιν. ἀναμεινάτω τις καὶ τὴν τούτων ἀκμήν. ἀναμεινάτω τὸ γῆρας. ἴσως οἴσει τι καὶ τοιοῦτον πρϊὼν ὁ χρόνος, ὅταν ἡμεῖς μηκέτ᾽ ὦμεν. εἰ ποθεῖ δὲ ἄνδρας τὰ πράγματα, δώσει τις καὶ τούτοις ἀρχὰς, πείθων αὐτὸς, οὐ κολακευόμενος. νῦν δ᾽ ἔνιοι περὶ τὰς τῶν δυνατῶν θύρας [12]. μᾶλλον δὲ ἤδη τὰς αὐτῶν ἀρετὰς ἐν ἀρχαῖς ἐπεδείξαντο τῶν ἐμῶν ὁμιλητῶν τινες. εἷς παφλαγὼν [13] τοῖς αὐτοῦ πόνοις θεραπεύσας τοὺς ἀρχομένους οὕτως, ὥστε ἔτι δακρύειν αὐτοὺς ἀπελθόντος ἐκείνου. γαλάτης δὲ ἔτι νῦν ἄρχει καππαδοκῶν οὕτως, ὥστε ἐπαινεῖν μὲν ἐκείνους τὰ δρώμενα, ζητεῖν δὲ πλέον οὐδέν· ὁ δὲ πρὸ τούτου ἡρακλεώτης, ἐπιτροπεύσας τὴν λυκίαν, οὔπω μὲν ἔτη πέντε καὶ εἴκοσι γεγονὼς ἐτύγχανεν· εὑρὼν δὲ τὸ ἔθνος ταῖς τῶν ἔμπροσθεν κλοπαῖς διεφθαρμένον, τοὺς μὲν [14] κατηράσατο, τοὺς δὲ εἰς εὐπορίαν ἤγαγεν [15], ἀποχρῆν αὐτῷ κρίνας τὴν ἀπὸ βασιλέως τροφήν· καὶ μέγαν πλοῦτον ἤνεγκε [16] τὸ πλουτοῦντας, ὧν ἦρξε, καταλιπεῖν· οὕτω δὲ τὰ πράγματα ἀμείνω σφίσι ποιῶν, προσετίθει ταῖς περὶ τὴν ἀρχὴν φροντίσι τὰ τῶν σοφιστῶν ἔργα, λόγῳ [17] πόλεως ἑκάστης τὰς πανηγύρεις κοσμῶν· ὥστε τοῖς ἐν λυκίᾳ τότε διδασκάλοις λυσιτελεῖν μᾶλλον

[12] queritur de prauitate temporum. nunc non rogari eos, qui digni sint honoribus, iisque gerendis pares, vt capessere eos velint, sed indignos et parum idoneos importunitate flagitationis eos rapere. Verum, subiicit, quid ego multum de futuris laboro temporibus? qui possum in meis, qui fuere, discipulis edere non paucos, in honoribus egregie iam versatos.

[13] parum ad rem nostram et ad historiae illuminationem facit, quod homines non e nominibus suis, sed e patria cuiusque sua designat. Paphlago, Galata, Heracleota, qui sunt?

[14] τοῖς μέν.

[15] f. ἀνήγαγεν, *reduxit*,

[16] ἤνεγκε videtur esse h. l. pro ἀπήνεγκε, *retulit, secum extulit e prouincia.* γρ. ἀντὶ τοῦ ἡγεῖτο π. m. Mor.

[17] γρ. λογίῳ m. Mor.

μᾶλλον ἀκούειν, ἢ λέγειν. Ἀνδρονίκου δὲ τοῦ γενναίου οὔτε ἀδακρυτὶ μνησθῆναι δυναίμην ἄν, ἐν ἑτέρῳ τε ἀμνημονήσας λόγῳ[18], σφόδρα γε ἂν ἀδικοίην, ὃς οὐχ ἧττόν μοι ἐγένετο κόσμιος, ἢ τῷ χείρωνι τὸν ἀχιλλέα φασίν· οὗτος ἦρξε μὲν τῆς δοῦναι δυναμένης Φοινίκης[19]· φύλαξ δὲ ἐγένετο τῶν ἐν[20] ἑκάστοις ὄντων, καὶ ἀκριβέστερος δεσποτῶν, καὶ φερόντων ἐκείνων, ἅπερ εἰώθεισαν, καὶ δῶρα ὀνομαζόντων, καὶ μισθὸν[21] ὑποκοριζομένων, καὶ τῆς μεγάλης ἑορτῆς[22] ὀνόματα· μικροῦ μὲν τοὺς οἰκέτας λαβὼν ἔδησε[23]· τοῦτο δὲ αὐτοῖς χαρισάμενος, τὸ κολάσαι, διαγινώσκειν ἐκέλευσε τοῦ λοιποῦ, τί μὲν ἄρχων, τί δὲ μισθωτός. Φόνῳ[24] τοίνυν μόνος ἀρχόντων, ὀλίγον[25] ἐδεήθη κατὰ

[18] f. λόγῳ, νῦν ἂν ἀμνημονῶν. cuius in alio quodam loco fortaſſe minore inuidia diſſimulaſſem memoriam, ejus ſi nunc praetermitterem tacitum nomen, iniuria violatae amicitiae abſolui non poſſe videor.

[19] prouinciam deſignat vberem, diuitem, copioſam, vnde facile ſit praeſidi, ſine ciuium incommodo, magnas opes acquirere.

[20] aut ἐν delendum, vt ad ἑκάστοις ſubaudiatur ἀνθρώποις aut πολίταις, aut leg. ἐν ἑκάστῃ. ſcil. πόλει.

[21] μισθὸν] ſportulas, quas afferebant Tyrii Andronico, praeſidi ſuo, appellabant primum donorum vel munerum nomine, quae conſueſſent praeſidibus omnibus ex more vetuſto dare. Quo nomine quum ille ea admittere nollet, appellabant alio honorifico nomine, μισθὸν, mercedem. dicentes, hanc eſſe mercedem vigiliarum pro ſalute ſua ab Andronico ſuſceptarum, quam mercedem et ſe dare aequum ſit, et eum accipere, quum mercedem laborum nemo paulo aequior neque deneget, neque recuſet, et inuidia perinde ad dantem atque ad accipientem careat.

[22] quinam erant illi magni Tyriorum ludi? Aſclepiane?

[23] parum abfuit, quin Andronicus ſeruos ſuos, ſi quos a ciuibus munera accepiſſe deprehenderet, obtorto collo arreptos in cippum daret; et quum tandem victus precibus ciuium pro ſeruis intercedentium, ſeruis poenam remitteret, iuſſit tamen, vt prouinciales impoſterum, ſe, qui rector eſſet, pro mercenario habere nollent.

[24] aut φόνου leg. aut φόνῳ τοίνυν χρῆσθαι μόνος ἀρχ.

[25] ὀλίγου Bav.

κατὰ τῶν ἀρχομένων· οὕτω γὰρ ἔδειξεν ἀδικίαν μισῶν, ὥστε ὁ φόβος οὐδὲν ἄξιον θανάτου εἴα τολμᾶσθαι· τῶν δ' ἐν μεγάλαις ἀρχαῖς γεγενημένων, εἰωθότων ἐπιτάττειν τῷ τῆς Φοινίκης ἄρχοντι, τῶν μὲν διὰ τῶν γραμμάτων, τῶν δ' αὐτῶν, ἅμα θορύβῳ καὶ βοῇ καὶ χαλεποῖς ὀφθαλμοῖς εἰστρεχόντων εἰς τὰ δικαστήρια, καταναγκαζόντων πρὸ τῶν νόμων ποιεῖσθαι τὸν δικαστὴν τὰς ἐκείνων ἐπιθυμίας· πᾶσαν ταύτην τὴν τυραννίδα κατέλυσεν· οὐχ ὕβρεσιν [26], οὐδὲ κραυγαῖς, ὥστε ἐκείνους ἔχειν ἐγκαλεῖν, ὡς οὐδένα [27] ἄνδρα πλέον αἰδεσθήσεται τῶν δικαίων· οἱ δ' ἐπαιδεύθησαν, ἰέναι μὲν παρ' αὐτὸν δικῶν οὐκ οὐσῶν, αἰτεῖν δὲ μόνα ταῦτα, ἃ λαβεῖν οὐκ ἄδικον. ἐντεῦθεν ἐκτήσατο δόξαν ἀρχικὸς εἶναι· καὶ οὐδεὶς οὕτως ἐχθρὸς Ἀνδρονίκῳ, ὃς τούτου [28] γ' ἂν ἐκεῖνον ἀποστερήσειεν. ἔδει μὲν οὖν αὐτὸν, οἴκοι [29] τε μένειν, καὶ τῶν ἐν Τύρῳ καλῶν ἀπολαύειν. καὶ μήποτε ἐκείνην γενέσθαι τὴν κλῆσιν [30] τὴν δυστυχῆ· γενομένης δὲ, καὶ νεωτέρων ἐν Θράκῃ συμβάντων πραγμάτων, ὁ μὲν τῆς βασιλείας ἁψάμενος [31], εὐθὺς τοῦτον ἄρχοντα ποιεῖ, πολλῶν παρόντων. τεῖχος ἰσχυρὸν τὴν Ἀνδρονίκου ψυχὴν ἡγούμενος· ὁ δὲ ἄκων μὲν, σιδήρου δὲ πανταχόθεν ἀστράπτοντος, ἐξεδέξατό τε τὴν ἀρχὴν, καὶ πλεῖστα τὸν πιστεύσαντα ὤνησεν· οὐ γὰρ ἦν προδότης, καὶ οὐκ ἠγνόει μὲν, ὡς πολλῷ μείζονι μαχοῦνται [32] ῥώμῃ, τῇ τῶν πολεμίων, καὶ σφαλεροῦ κοινωνεῖ πρά-

[26] ὕβρεσιν] sic ♀ et Bav. ὕβρεσεν Mor.

[27] ἐκείνους ἔχειν ἐγκαλεῖν, διδαχῇ δὲ (vel ὑπομνήσει δὲ) ὡς οὐδένα, non contumelia, non conuitio, vnde fuiſſet iuſta Andronicum accuſandi cauſa, ſed docendo, aut monendo, cum ſe eſſe, qui mortalium neminem maioris, quam ius et fas faciat. ἐκείνοις Mor.

[28] τοσούτου Bav.

[29] οἴκοι] erat enim Andronicus Tyrius.

[30] κλῆσιν] vocatus enim a Procopio, imperium affectante, fuit ad Vicariatum Thraciae, v. Valeſ. ad Ammian. p. 466.

[31] ἁψάμενος] Procopius deſignatur.

[32] μαχοῦνται] ipſe, Andronicus, et Procopius, et caeteri, qui cum eo facerent.

πράγματος· ὅμως δὲ τὰς ἧττους ἐλπίδας μετὰ τοῦ μὴ γίνεσθαι κακὸς, εἵλετο μᾶλλον, ἢ τὸ Θετταλῶν ὄνειδος [33] ὑπομείνας πλουτεῖν· καὶ ἦν πιστὸς μὲν Βιθυνίας ἄρχων καὶ φιλόπονος [34], πολὺ δὲ βελτίων ἐφ᾽ ὅλην ἀπεσταλμένος τὴν Θράκην. κρειττόνων δὲ τῶν ἐναντίων γενομένων, κύριος ὢν ἀποδρᾶναι, καὶ λιμένων ὁρωμένων καὶ πλοίων ὑπαρχόντων, καὶ πολλῶν ὄντων οἳ ταῦτα παρῄνουν, οὐκ ἠξίωσεν εἰς [35] σπήλαια καταδὺς, ἢ κρύψας [36] ὕλῃ τὸ σῶμα, ζῆν ἐν σχήματι τῆς αὐτοῦ φύσεως ἀλλοτρίῳ, ἀλλὰ τοῦ μὲν δέξασθαι τὰς ἀρχὰς, ἱκανὴν ἀπολογίαν εἶναι νομίζων τὴν ἀνάγκην, τοῦ δὲ μὴ προδεδωκέναι, τὸ μὴ καλὸν εἶναι πρᾶγμα τὴν προδοσίαν, ἐπὶ τοῖς νενικηκόσιν αὑτὸν ἐποιήσατο, καὶ μακροτέρου μὲν ἐστερήθη τοῦ βίου, τῇ δόξῃ δὲ, ἣν εἶχεν, ἐντελευτήσας ἀπῆλθεν· ὁ δὲ δημεύων τὴν τοῦ τεθνεῶτος οὐσίαν, ἐν τῇ τῶν ὄντων βραχύτητι, τοῦ δεξαμένου τὴν πληγὴν, ἐθαύμασε τὸν τρόπον. ἆρ᾽ ἄξιον τοὺς πολλοὺς ἄρχοντας ὑμᾶς, μιᾷ τῇ ἐκείνου γνώμῃ καὶ τοῖς ὑπ᾽ αὐτοῦ [37] διῳκημένοις ἀντιθεῖναι· πότερον δὲ οὕτως μᾶλλον ἂν κριθείη δικαίως, ὁποτέρῳ γέγονεν εἷς ἀγαθὸς, ἢ ὅτῳ πολλοὶ κακοί; ἀλλ᾽ ἀνδρόνικος μὲν ἀπῆλθεν, εὐφράνας ἡμᾶς τῷ θανάτῳ· ζῇ δὲ κέλσος οὐδὲν μὲν ὑμῖν ἐοικὼς, ἐμῶν δὲ καὶ οὗτος ἔργον ἱδρώτων, ὃς ἄρξαι μὲν ὀρθῶς ἠδυνήθη πολιτῶν, καὶ συγγενῶν καὶ φίλων, οὔτε νόμους παραβὰς τῇ εἰς ἐκείνους χάριτι καὶ, τὸ πάντων σπανιώτατον, μετὰ τῶν δικαίων τὰς φιλίας φυλάξαι· εἰ δ᾽ ἔροιο προσελθών· σὺ δὲ δὴ τίνος [38] ἡμῖν [39] μαθητής; καὶ παρά του τὸ ῥητορεύειν ἔχεις; ἐμὲ, καὶ τὰς παρ᾽ ἐμοὶ διατριβὰς ἀκούσῃς. ὃ γὰρ ἐν μέσαις ἀθήναις εἰπεῖν οὐκ ὤκνησεν, οὐδὲ νῦν ἀποκρύψεται. οὗτοσὶ γὰρ

ἥκε

[33] Thessalorum probrum erat *proditio* et *perfidia*. vt aliquando Normannorum.

[34] φιλόπολις Bav. sed in marg. Vulg. est.

[35] εἰς] sic dedi. ἐ Mor.

[36] κρύψαι Bav.

[37] ὑπ᾽ αὐτοῦ] sic dedi. ὑπ᾽ αὐτοῖς Mor.

[38] τοῦ cum circumflexo, pro τίνος.

[39] ἴσ. ἡμῶν m. Mor.

ἧκε μὲν ἐκεῖσε δόξῃ κιβδήλῳ πειθόμενος, τῆς πείρας δὲ αὐτῷ τὴν δόξαν ἐλεγχούσης. ἐν λυκείῳ τῆς νεότητος παρούσης, τὸ τῆς παροιμίας ἔφη πεπονθέναι, καὶ ἀτεχνῶς ἀφ᾽ ἵππων εἰς ὄνους· ὃ καὶ τὴν ἀθηναίων πόλιν, ἔδακέ τε, καὶ διὰ ψηφισμάτων ἠνάγκασέ με καλεῖν, δεινὸν ἡγουμένους, εἴ τινες λόγοι τῶν παρ᾽ αὐτοῖς βελτίους ἑτέρωθι. ἀφεὶς οὖν τὸ ὡς ἧκεν ἀθήναζε, κέλσος [40], αὐτὸ καθ᾽ αὐτὸ σκοπεῖν, ἣν εἶχε [41] γνώμην ἥκων, ἐξέταζε παῖδας [42] γὰρ ἀκριβῶς τῶν ἡμετέρων εὑρήσεις, καὶ τοῖς προτέροις ἐοικότας, ἀλλ᾽ οὐχὶ τοῖς δευτέροις, ὃ σημεῖον ἂν εἴη τοῦτο, τὰ μὲν δεύτερα αὐτῷ φαῦλα δόξαι, τὰ πρότερα δὲ βελτίω· ψέξεις [43] οὖν ἔτι, καὶ λοιδορήσεις τὰς παρ᾽ ἡμῖν διατριβάς, ὦ πλὴν τοῦ σαυτὸν ἐπαινεῖν, καὶ περὶ τῶν ἄλλων βλασφημεῖν, εἰδὼς οὐδέν. τοιούτων γὰρ λόγων ἐμπέπληκας τὰ χωρία· μόνος πλουτῶ, μόνος δύναμαι λέγειν, ἄρχειν ἐπίσταμαι [44] μόνος, ἀδικοῦμαι τὴν γῆν οἰκῶν· σὺ

[40] quare noli nunc, mi homo, solum hoc spectare, Celsum, eloquentiae quaerendae ergo e patria profectum, Athenas se contulisse, aliisque se doctoribus tradidisse, quorum aliqua mendaci gloria impletus fuerat; non hoc modo specta, tu, quisquis es, qui me carpis, qua mente Celsus Athenas venerit, sed hoc, quae ei mens fuisset, cum illuc esset delatus, et statum literarum, qui Athenis tum esset, cognosset.

[41] εἶχε Bav. et m. Mor. cum γρ. sed in marg. Bav. Vulg. est.

[42] παῖδα. et vlt. ἐοικότα. invenies enim eum filium (h. e. discipulum) nostrum, et primis quidem similem, non autem posterioribus. h. e. referentem dictione sua formam meae institutionis, qua vsus est, antequam Athenas proficisceretur, non autem illius institutionis, quam, a me digressus, Athenis delibauit. τὰ πρότερα est institutio Libanii, τὰ δεύτερα, institutio magistrorum, ad quos a Libanio transiit Celsus.

[43] hic init tertium et postremum eundem huius orationis, seu defensionis, seu invectiuae locum, vt notatorem suum ipse vicissim teterrimis notis compungat.

[44] ἐπίσταμαι μόνος, ἀδικοῦμαι κ᾽ μόνος τὴν γῆν οἰκῶν. solus novi, populos gubernare; iniuria mihi fit in eo, quod solus terra-

σὺ δὲ πλουτεῖς [45] μὲν, κακῶς δὲ εὐπορεῖς, ἐκ τῆς ὠμότητος τῆς περὶ τοὺς τόκους, δι᾽ ὧν πολλὰς οἰκίας ἀνατέτραφας [46], οὐ χήρας οἰκτείρων, οὐκ ὀρφανοὺς ἐλεῶν, οὐχ ὑπὸ [47] δακρύων καμπτόμενος, βοῶν, κεκραγὼς, πώλησον ἀγροὺς, πώλησον ἀνδράποδα, πώλησον πατρῴους τάφους· εἰ δ᾽ οἷόν τε καὶ σαυτόν. τοιαῦτα λέγων ἐκάθητο, καὶ τὸ χρυσίον ἐλάμβανε παρὰ γυναικῶν καὶ παιδαρίων γυμνῶν· εἶθ᾽ οἱ μὲν ἀπῄεσαν προσαιτήσοντες· ὁ δὲ τὸ ποριθὲν οὕτως ἔχων ἀπηλλάττετο, χαίρων, εὐδαίμονα καλῶν αὐτὸν ἐπὶ κέρδεσι πάσης δεινοτέροις πτωχείας· ὑπὲρ τοιούτων τόκων τὴν ἀρχὴν ἀφεὶς, ἣν δεηθεὶς ἔλαβε, πέντε μῆνας προσήδρευεν ὑπάρχῳ καὶ οὐ πρότερον ᾤχετο, πρὶν ἐπόρθησεν οἰκίας ὑπὲρ τὰς τριάκοντα, λῃστὴς ὢν ἀντὶ δανειστοῦ μετρίου. τούτου [48] μὲν γὰρ ἐστι μηδενὸς φείδεσθαι, τοῦ δὲ [49] εἰδέναι τι καὶ χαρίσασθαι· ὁ δὲ γελῶν πρὸς τοὺς δανειζομένους· καὶ προδεικνὺς ἥμερον πρόσωπον, ἐν ταῖς εἰσπράξεσιν ἀγριώτερός ἐστι τοῦ κύκλωπος· μονονοὺ τὰς σάρκας πενομένων ἀποσπῶν. τοιοῦτος ἡμῖν ὁ κροῖσος ἀντὶ τοῦ πακτωλοῦ, τὴν ἀπανθρωπίαν αὐτὸς τὴν αὐτοῦ καρπούμενος. ὕπαρ ὄναρ λογιζόμενος τόκους· ὑπὸ πάντων μισούμενος. ἐν μὲν τοῖς τῶν ἄλλων κακοῖς, φαιδρός· ἐν δὲ τοῖς καλοῖς, περίλυπος. εὖ μὲν πάσχειν ἀξιῶν, τοῖς δὲ εὖ ποιοῦσι πολεμῶν ὡς ἂν ἠδικημένος, δεδιὼς μὴ χάριν ὁμολογήσας, εἰς ἀμοιβῆς ἀνάγκην κατακλεισθῇ· πῶς δ᾽ οὐκ ἔμελλε πλουτεῖν τὰ τῶν φίλων ἀφαιρούμενος καὶ τὰς ἀκαιρίας ἐκεί-

γων

terrarum orbem non incolo. ἐπίσταθαι Mor. sed m. ἴσ. ἐπίσταμαι.

[45] πλουτεῖς μὲν, κακῶς δὲ. dives es, verum id ais, sed malis artibus id consecutus. εὐπορεῖς, ἀλλ᾽ ἐκ τῆς ὠμότητος — abundas opibus, sed ex crudelitate.

[46] ἀνατεράξας Bav. sed Vulg. in marg.

[47] οὐχὶ ῥοῇ Bav. sed in m. οὐχ ὑπό.

[48] τούτου] scil. latronis.

[49] τοῦ δὲ] sed foenerator non plane inhumanus meminerit interdum aliquid remittere, et humanitati condonare.

νων καιροὺς αὐτῷ [50] τῶν κλοπῶν ποιούμενος; ἀλλὰ, νὴ δία, λόγους εἶπε [51], πάνυ γε, τοὺς ἀλλοτρίους· οὕτως ἔγημεν [52] ἐξαπατήσας ἄνδρα λόγων ἐραστὴν, τὸν πατέρα τῆς κόρης· οἶδα καὶ τῶν ἑπτὰ λόγων, οὓς περιφέρεις, τὸν πατέρα· καὶ ὡς ὁ μὲν συνετίθει· σὺ δὲ ὠνοῦ [53], καὶ βιάζῃ [54] ποιητὴς εἶναι δοκεῖν, ὑποκριτὴς γεγονὼς, οὐδὲν ἔχων εἰς ταῦτα [55], πλὴν εὐφωνίας· καὶ τὸ μὲν δὴ νέον ὄντα [56] λόγους, ὥσπερ ἄλλο τι τῶν ὠνίων, ἀγοράζειν, αἰσχρὸν μὲν, ὦ λόγιοι θεοί· πῶς γὰρ οὔ; τ᾽ ἄλλα δ᾽ ἂν [57] καὶ συγγνώμης τύχῃ [58], τὸ δ᾽ ἐν βασιλείοις τρεφόμενον [59] καὶ παρέχοντα βασιλεῖ τὴν αὐτοῦ γλῶτταν εἰς ἐπιστολὰς, πάλιν ὠνεῖσθαι [60] λόγους, πῶς οὐκ ἐσχάτης ἀτιμίας

[50] αὐτῷ] sic dedi. αὐτῶν Mor.

[51] est hypophora. Atqui, ait aliquis amicus aut defensor mei vituperatoris: egit tamen causas, vel habuit orationes. ergo illiteratus non est, quod tu criminaris. respondet. Habuit, sed alienas, quas recitauit, eas alius exarauerat.

[52] οὕτως ἔγημεν] sic recte dat Bav. et m. Mor. hac ratione inuenit vxorem, recitandis orationibus, alienis quidem illis, sed quas pro suis venditabat. pater enim puellae, quam nunc vxorem habet, magni faciebat literas. Quas iactas et circumfers orationes, noui, noui, quis eas scripserit.

[53] σὺ δὲ ἰῶν ὃ — in marg. Bav.

[54] omni contentione id agis, vt pro poëta, h. e. auctore et conditore illarum fabularum habeare, quarum non es nisi histrio.

[55] ταῦτα] artes oratorias, quo loco sunt conscriptio orationum et earundem recitatio.

[56] vt aliquis homo adolescens orationes ab aliquo emat aere suo, quas pro suis recitet, est id quidem turpe, proh dii. quotquot eloquentiae praesidetis.

[57] τἄλλα δ᾽ ἄν.] sic ♀ et Bav. δ᾽ deest Mor.

[58] ἴσ. τύχοι m. Mor.

[59] fuit ergo inimicus ille, cum quo Libanius hac oratione expostulat, commentariensis ab epistolis principis, aut si multum, quaestor. nam quaestorum erat, imperatoris literas praelegere, et item eius literas in senatu recitare.

[60] sic videtur distinguendum: γλῶτταν εἰς ἐπιστολὰς, πάλιν ὠνεῖσθαι, quanquam, vt verum

μίας ἄξιον; ἢ οἴει σύ γε λεληθῆναι τίς ποτ᾽ ἦν, ὁ περὶ τῆς σκευῆς γεγραφὼς [61], ἢ ποιεῖ τὸν ἱππέα τὸν ὑπ᾽ αὐτῇ μαχόμενον ἄτρωτον. οὐχ οὕτως [62] ἐκεῖνος ᾔδει τὰ τοιαῦτα σιγᾷν· ἀλλ᾽ ἔχων τοὺς λόγους [63], τὴν τιμὴν προσεκτήσατο, τὴν φιλοτιμίαν λέγων, οἷς ἠπίςατο· οἱ δὲ ἐκεῖνον μιμούμενοι, πρὸς ἄλλους ἐξελάλουν· καὶ σὺ πολλάκις πρὸς τοὺς τὸ πᾶν εἰδότας, ὡς οὐδὲν ἐγνωκότας, διεξῄεις· ἃ [64] λεγόντων ἐκείνων, εἴπερ ἐτόλμων, ἤκουσας ἄν. τὸ [65] τῆς ἐμῆς ἀκαίρου φιλανθρωπίας· ἴναχός τις τῶν ὑπὸ τῆς τοῦδε περὶ τοὺς τόκους ἀπληςίας ἀπολωλότων, δεόμενος ἐπιεικείας τινὸς τυχεῖν, εἶτα ὀδυνηθεὶς, ἐγνώκει πλείςους ὅσους τῶν πολιτῶν καὶ τῶν ξένων ἀγείρας ἐν μεγάλῳ θεάτρῳ, κηρύξαι τὸ ἀπόῤῥητον· ἐγὼ δὲ ἐκώλυσα· καὶ νῦν δι᾽ ἐμὲ τὴν παῤῥησίαν ἔχων· εἰ γὰρ ἐγὼ τότε μὴ τὸν ἄνθρωπον ὑπέχον [66], ἐγκεκαλυμμένος, ἂν

οὗτος

rum fatear, illud πάλιν quid ſibi velit, non intelligo. non enim de noua quadam orationum emtione hic agitur, ſed de eadem, quam breuiter ante notarat.

[61] colligitur ex hoc loco, illum oratorem, qui hoſti Libanii orationes, a ſe conſcriptas, vendidit, etiam libellum conſcripſiſſe de armatura equitis illa, quae totum hominem vna cum equo tegit, (κατάφρακτον appellant,) ſed quis ille auctor? ſaepe iraſcor Libanio, ita muliebri ſuae et inſidioſae atque per cuniculos reptanti diſſimulationi ſeruienti, vt hodie ignorandum nobis ſit, quos identidem notet. hoc eſt, ſibi commentari, et intra os, in barbam, muginari, non poſteris ſeruire, non poſteros clara et aperta oratione docere.

[62] οὕτως] vt rem clam haberet.

[63] non modo exemplum primigenium illarum orationum, quas tibi vendiderat, ſeruabat ſibi, ſed etiam τῇ τιμῇ προσεκτήσατο τὴν φιλοτιμίαν, λέγων (ſcil. τὸ γεγονὸς, vel τὴν σὴν ὠνὴν) οἷς ἠπίςατό σοι ἐχθρούς. οἱ δὲ praeter pretium earum, quod a te tulerat, acquiſiuit ſibi quoque gloriam ingenii, eo, quod totam rem aperuit iis, quos tibi infenſos norat.

[64] ἃ] f. σὺ δὲ λεγόντων.

[65] τὸ] ſic dedi. Quod ſi auſi eſſent illi, ea, quae norant, proloqui, iam dudum audiſſes exemplum inſigne meae intempeſtiuae humanitatis τῷ Mor.

[66] f. ἐπέχον.

οὗτος ἔζη τὸν λοιπὸν ἅπαντα βίον, τοῖς οἰκέταις ὑποπεπτωκώς, ἐμοῦ δὴ σεσωκότος αὐτῷ τὴν παῤῥησίαν, ὁ νεανίας οὑτοσὶ κατ᾽ ἐμοῦ καὶ τῶν ἐμῶν ταύτῃ κέχρηται· καὶ φησὶν οὐδένας παρ᾽ ἐμοῦ γεγονέναι ῥήτορας· αὐτὸς δὲ εἶναι σοφώτατος, ὃς εἰς τοσοῦτον ἥκει σκαιότητος, μᾶλλον δὲ μανίας ἄκρας, ὡς οὐδέν φησι χεῖρων εἶναι τοῦ διός· καὶ προσήκειν αὐτῷ, τὸν θεὸν ἀποστῆναι τῆς ἀρχῆς [67] τῶν ὅλων· καὶ ταῦτα τολμῶν, καὶ καταγελώμενος, οὐδὲν μᾶλλον ὁ πεπαιδευμένος παύεται, ἀλλ᾽ ἀεί τι τῶν προτέρων ζητημάτων [68] ἀτοπώτερον, αὐτὸς αὑτὸν οὐκ αἰσθάνεται κωμῳδῶν· ᾧ μέγα γεγένηται κέρδος, τὸ μὴ γενέσθαι τέκνα· διεδείχθη γὰρ ἂν καὶ τέκνα μισῶν, νῦν δὲ οὐκ ὀλίγον λανθάνει κακὸν διὰ τὴν τύχην, ἣ κηδομένη τῶν ἀνθρώπων, ἄπαιδα τὸν ἀλιτήριον ποιεῖ, ῥυομένη τὰς πόλεις πονηροῦ τινος σπέρματος. ὁρᾷς ὡς καλὸν ἐπιλαμβάνεσθαι ῥᾳδίως; σὺ γὰρ, ἐξόν σοι βελτίω τῆς προσηκούσης δόξαν ἔχειν, ἐπὶ σαυτὸν ἄνδρα κινήσας τὴν προσήκουσαν μετείληφας.

[67] ἀρχῆς] sic recte m. Mor. sed in t. εὐχῆς.

[68] f. ζητῶν. aut si ζητημάτων seruatur, deest ἐξευρών. quamquam, quae illa sint ζητήματα, haud assequor.